# ΤΟΥ ΑΥΤΟΥ ΟΜΟΙΑ

## ΕΙΣ ΤΑ ΚΕΦΑΛΑΙΩΔΩΣ ΡΗΘΕΝΤΑ
ἐν τῷ Τετραευαγγέλῳ.

### ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ναὶ λυχνία πρόκεισο, ναὶ παστὰς πλέκε
Ναὶ στάμνε πλάττε, καὶ φύε χρυσῆ βάτε,
Τὸ φῶς πάρεστιν, εὐπρεπὴς ὁ νυμφίος,
Ἐγγὺς τὸ μάννα, καὶ τὸ πῦρ ἤδη φθάνει.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐκ πατέρων παίδεσσι προήλυθεν εὔγονες εὖχος,
Ἠΰτ' ἀπὸ κρήνης, κάλλος ποταμοῦ προχοῇσι.
Ἄννα δέ τ' ἀνάπαλιν κούρης ἀπὸ παιδὸς ἄγαται,
Ἣ Θεὸν ὑψιθόωκον ἑαῖς ἐνιδέκτο λαγόσσιν,

### ΕΙΣ ΤΑ ΑΓΙΑ ΤΩΝ ΑΓΙΩΝ.

Φῶτα πρὸ Φωτὸς, παρθένον πρὸ παρθένου, Ναοῦ πύλαι δέξασθε τὴν Θεοῦ πύλην.
Εἴσελθε σεμνὴ μέχρις αὐτῶν ἀδύτων, Δέχου προφῆτα Γαβριὴλ ὑπηρέτει.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔννομά τοι ταῦτα, Ζαχαρία, ἔννομα ταῦτα;
Τίς ποτε θηλυτέρην ἐν ἀδύτοις ἔδρακε παῖδα;
Παῖδα μὲν εἰσοράᾳς, αὐτὰρ ἀδυτώτατον οἶκον,
Τήνδε κούρην ἱερὴν, ἱεροῦ μάθε παμβασιλῆος.

# ΜΑΤΘΑΙΟΣ.

### ΕΙΣ ΤΟ, ΒΙΒΛΟΣ ΓΕΝΕΣΕΩΣ.

Ὁρᾷς τελώνην καὶ βλέπεις οἷα γράφει; Ἀβραὰμ υἱὸν τὸν λόγον δείκνυσί σοι
Καὶ παῖδα Δαβὶδ, τὸν Θεὸν Δαβὶδ λέγει,
Ἐν τῇ πρὸς ἡμᾶς σαρκικῇ παρουσίᾳ.

ΕΙΣ

SISMANOGLIO MEGARO



### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὃς γενεὴν βροτέην τεκτήνατο ἄχρονος ἄναξ,
Νῦν γενεαλογίην κατεδέξατο· ὧν δέ οἱ ἦλθον
Ἀβραὰμ Ἰσαάκ τε προπάτορε, τοῖς δ' ἔπι Δαβὶδ.
Κούρη θ' ἁγνοτόκεια κυήσατο ἄρρενος ἄτερ.

### ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Ὑπὲρ λόγον τὸ θαῦμα, παρθένος κύει, Ὑπὲρ λόγον τὸ θαῦμα, πλὴν Θεὸν κύει.
Τοῦτ' αὐτὸ καινὸν, εἰς Θεὸν βρέφος βλέπω, Τοῦτ' αὐτὸ καινὸν, πλὴν Φιλάνθρωπον βλέπω.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθενικῆς Μαρίης υἱὸν Θεὸν εἴδοθι φάτνης
Ἄγγελοι, ἀστρολόγοι, βουθρέμμονες ἀμφεκύνησαν.
Μοῦνος ἄγριος ἄναξ δεινὰ φρεσὶ βυσσοδομεύων
Πέφνε βρέφη σύμπαντα, Θεὸν κτανέειν μενεαίνων.

### ΕΙΣ ΤΗΝ ΕΙΣ ΑΙΓΥΠΤΟΝ ΦΥΓΗΝ ΙΗΣΟΥ.

Φεύγεις Ἰησοῦ, τοὺς δὲ δυνάστας τρέμεις; Φεύγω βροτὸς γάρ εἰμι καὶ φεύγειν δέον.
Ἐνιαυτὸς οὔπω τοῦ χρόνου μοι τοῦ πάθους. Καὶ φεῦγε λοιπὸν, ἄχρις Ἡρώδης θάνῃ.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἴγυπτον σκοτόεσσαν ἐπέρχεαι, ὦ ἄνα Χριστέ·
Ἀμπλακίης ὄφρα κεῖθεν ἀπὸ βροτὸν ἄνδρα σαώσῃς.
Κούφῃ δ' ἐν νεφέληφι καθίζεαι, ὥς μ' ἀναείρῃς,
Κούφῃ ἐν νεφέλῃ, σεμνοῦ τ' ἀνὰ πατέρος ἀγκάς.

### ΕΙΣ ΤΟ ΚΗΡΥΓΜΑ, ΚΑΙ ΤΗΝ ΣΤΟΛΗΝ ΙΩΑΝΝΟΥ.

Ἐρημικὰ ξύμπαντα τοῦ Ζαχαρίου, Ἡ γὰρ στολὴ πέφυκε καμήλου τρίχες,
Τὸ ζῶμα δέρμα, πλοχμὸς αὐχμηρὸς κόμης, Βλέμμα βλοσυρὸν, καὶ μετάγνωσις λόγος.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νηδύος ἐκ προμολὼν στερεῆς κλυτὸς Ἰωάννης
Γῆν στερεὴν ᾤκησεν, Ἰορδάνου ἀμφὶ δὲ ῥείθροις
Ὄχλον ἀπειρέσιον πλυνέεσκεν εἰς μετάνοιαν.
Δέρκεο θοιμάτιον καὶ τὴν τρίχα, θαῦμα ἰδέσθαι.

### ΕΙΣ ΤΗΝ ΒΑΠΤΙΣΙΝ.

Τί δρᾷς ποταμὲ, ποῦ τὰ ῥεῖθρά σου στρέφεις;
Οὐκ οἶδα τί δρῶ, πλὴν τὸν ἑστῶτα τρέμω.

Οὐχ'

Οὐχ' εἷς γε μὴν ἔστηκεν, εἷς δέ με στρέφει    Ὁ ποῖος οὗτος; τὴν περιστερὰν σκοπεῖ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς πόθεν εἶς, αὐχμῆεν ὀρέστερε, ἄγριε ἀνερ,
Οὔρεος ἐξ ἀβάτοιο Ἰορδάνου ἀμφὶ ῥέεθρα;
Εἰμὶ Θεοῖο λόγοιο διήκονος, οὗ ἐνὶ χαρῇ.
δεξιτερὴν ἀνάειρα· Φόβος δέ με γυῖα ὑπῆλθεν.

ΕΙΣ ΧΡΙΣΤΟΝ ΠΕΙΡΑΖΟΜΕΝΟΝ ΥΠΟ ΤΟΥ ΔΙΑΒΟΛΟΥ.

Αἰτεῖς μιαρὲ προσκυνεῖν σοι τὸν λόγον    Τὸν προσκυνητὸν ταῖς ἄνω στρατηγίαις
Κατεγγυᾷς δὲ πτωχὲ τῆς γῆς τὰ κράτη    Τῷ παμβασιλεῖ. Τῆς ἀναιδείας ὅση!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄδαμον ἀρχιγένεθλον ἰῇ ἐνὶ κάββαλε πάλῃ
Δαίμων. Αὐτὰρ ὅ μιν τρισσῇσι παλαισμοσύνῃσι
Λοῖσθος Ἀδὰμ ἐνάριξε, καὶ ἔννομον ἤρατο κάρτος,
Τρισσοῖς γάρ τ' ἀέθλοισι παλαιστρικὸς ἔμμορε νίκης.

ΕΙΣ ΤΟΝ ΙΑΘΕΝΤΑ ΥΠΟ ΤΗΣ ΑΦΗΣ ΧΡΙΣΤΟΥ ΛΕΠΡΟΝ.

Τὸν λεπρὸν ἀκάθαρτον ὄντα τῷ νόμῳ,    Χειρὶ κρατεῖς σὺ, καὶ θεραπεύεις λόγε.
Οὐ γὰρ κατῆλθες τῷ κεκαθαρισμένῳ,    Τῇ δ' ἐθνικῇ μάλιστα λεπρᾷ, καρδίᾳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῦν μὲν ἕνα Χριστοῖο καθήρατο δάκτυλα λεπρὸν,
Ἀλλ' ὅτ' ἐπὶ σταυροῖο τεθήσεται οὐχ' ἕνα μοῦνον.
Φύσιν ὅλην δ' ἰήσεθ', ὅλην λεπρήν περ ἐοῦσαν,
Ἄψαι κἀμοῦ Χριστὲ. νόος δ' ἀπὸ λέπραν ἄειρον.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΗΝ ΠΕΝΘΕΡΑΝ ΤΟΥ ΠΕΤΡΟΥ ΘΑΥΜΑ.

Ἦλθες βαλεῖν πῦρ ὡς ἔφης, εἰς τὸν βίον,    Ἀλλ' ὡς ὁρῶ πῦρ μᾶλλον ἐκ-
Τὸ πυρεταῖον ὑγιάζων σαρκίον    βάλλεις, λόγε,
Ὄναιο ταῦτα τῆς μαθητείας, Πέτρε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῦν μὲν Χριστὸν ἄνακτα Πέτρε προκαλίζευ ἰητρὸν,
Πυρετὸν ὄφρα δάϊον ἐσαῦθι φύξιμος αὔρα·
Σκιὰ δέ σευ μετόπισθε τροπώσεται ἔθνεα νήσων.
Ἐν δὲ χιτὼν νεκύεσσι πόροι βιοθρέμμονα πνοιήν,

ΕΙΣ



ΕΙΣ ΤΟ, ΑΙ ΑΛΩΠΕΚΕΣ ΦΩΛΕΟΥΣ ΕΧΟΥΣΙΝ, Ο ΔΕ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

Φῂς οὐκ ἔχειν ποῦ τὴν κάραν, Χριστὲ, κλίνῃς,    Σαφὲς τὸ ῥητὸν, ἡ γὰρ ἔνθεος φύσις,
Ἡ σὴ κεφαλὴ τοῦ Θεανθρώπου λόγου    Οὐκ ἂν κλιθῇ ποῦ, καὶ γὰρ ἀκλινεστάτη,

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Φωλεὸν ἀμφὶ μένουσιν ἀλώπεκες, ἐνδὲ πετεινῶν
Οὐρανίων γενέθλη, Χριστὸς δ' ἕνα πῆχυν ἀρούρης
Ἐς δόμον οὐ φορέοι. Τί πρὸς τάδε φαῖεν ἐκεῖνοι.
Οἳ χρυσοῦν δομέουσιν ὑπείροχον ὕψιον οἶκον.

ΕΙΣ ΤΟΝ ΕΝ ΘΑΛΑΣΣΗ ΥΠΝΟΝ ΧΡΙΣΤΟΥ.

Ὁ δεσποτικὸς ὕπνος ἀρρήτῳ λόγῳ    Ὑπνοῦσαν ἐξύπνισε τὴν ἅλμην τότε.
Ἡ δ' ἐξέγερσις ἔμπαλιν τοῦ Δεσπότου    Τὸ τῆς θαλάσσης ἐξεκοίμισε πλάτος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χριστὸς μὲν παλάμηφιν ἐέρξατο πάντας ἀήτας.
Τοῦ δ' ἔτ' ἐνὶ βλεφάροισι γλυκὺς περιχύμενος ὕπνος
Πεῖσ' ἐλθεῖν Βορέην ὁ δ' ἀπέπτατο, κὰδ δ' ἅλα τύψε.
Χριστοῦ δ' ἐγρομένου κεῖνος πάλιν ἔνδον ἐέρχθη.

ΕΙΣ ΤΟ ΕΝ ΓΑΔΑΡΟΙΣ ΘΑΥΜΑ.

Τὴν τοῦ Σατὰν, ἄνθρωπε, μανίαν βλέπε.    Ὁ γὰρ ἀπάγχων τῶν συῶν
Τί λοιπὸν ἂν δράσειεν εἰς βροτοὺς βλάβης;    (τὰς ἀγέλας
Ὡς χοῖρος οὖν ζῶν σωφρονίζου τῷ τύπῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συβῶται ποῦ φεύγετε, τοὺς δὲ σύας λίπετ' αὐτοῦ,
Τὸν λεγεῶ δεδιαμεν, ἀτάσθαλός ἐστι γενέθλη,
Ἄγχετο συβόσιον, κὰδ δ' ἔρχετο πυθμένα λίμνης.
Οὐδ' οὔπω λεγεῶνα κορέσσετε, ἀγχόμενοί περ.

ΕΙΣ ΤΗΝ ΜΑΤΘΑΙΟΥ ΚΛΗΣΙΝ.

Τί τοῦτο Χριστὲ τοῖς τελώναις συγκαθῇ;    Τί τοῦτο καινόν; ἀλλὰ καὶ συνεσθίω
Ματθαῖος οὗτος ὁ τελώνης ἐστί σοι;    Ἐμοὶ δὲ πολλῶν βελτίων γραμματέων

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χαίρετε ἀμπλακόεργοι, θαρσέετ' ἔθνε' ἀλιτρῶν,

Χρι

SISMANOGLIO MEGARO

Χριστὸς ἀλιτροβίοισι μεθίζεται, ἠδέ τε δειπνεῖ.
Ματθαῖον καταθρεῖτε ἐὴν πάρος ἀμφὶ τελώναις,
Νῦν δὲ Χριστὸν ἄνακτα συνέσιον ἔσχεν ἐν οἴκῳ.

ΕΙΣ ΧΡΙΣΤΟΝ ΑΝΙΣΤΩΝΤΑ ΤΗΝ ΘΥΓΑΤΕΡΑ
τοῦ ἀρχισυναγώγου.

Σὺ καὶ θανατοῖς, καὶ πάλιν ζωοῖς λόγῳ. Ζωοῖς δὲ μᾶλλον ἢ θανατοῖς, Χριστέ μου.
Ὁ δ' ἀρχισυνάγωγος εἰς μαρτυρίαν, Βιοῦν τὸ θυγάτριον ἔμπαλιν βλέπων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μὴ θρηνεῖτε γυναῖκες. ὑπνοῖ τὸ κοράσιον· ὑπνοῖ,
Ὑπνοῖ, οὐδέτ' ὄλωλεν. ὑμεῖς κενεῶς δὲ γελᾶτε.
Ἔγρεό μοι κόριον, καὶ αἰθέρα δέρκεο δῖον.
Ἀρχισυναγώγοιο πατρὸς σέο πίστις ἀμύμων.

ΕΙΣ ΤΗΝ ΑΙΜΟΡΡΟΥΝ.

Ὢ πίστις ὀρθὴ, πίστις ἀκραιφνεστάτη, Δι' ἧς βροτοὶ κλέπτουσι τὴν σωτηρίαν.
Ἀλλ' οὐ λέληθας, κἂν λαθεῖν δοκῇς γύναι, Τὸν γὰρ πανόπτην πῶς λαθεῖν δύναιτό τις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀσθενὲς ἦσθα γύναιον, ἀτὰρ κρατερὸν κατὰ πίστιν.
Καὶ δοιοὶ προχέοντο ῥόοι σέθεν ἐκ πιδύοντες,
Αἵματος εἷς, ἄλλος δέ τε πίστιος ἐς πολὺ μείζων.
Ἔνθεν ὃ κεῖνον ξήρανε, καὶ λάβεν οὔνομα δῖον.

ΕΙΣ ΤΗΝ ΔΙΑΓΩΓΗΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ,
καὶ τὴν τούτων ἀποστολήν.

Καινοὺς στρατηγοὺς, καὶ βασιλέα βλέπε. Ὁ μὲν κλῖναί που τὴν κεφαλὴν οὐκ ἔχει.
Οἱ δ' εἰς μάχην ὁρμῶσι γυμνῷ σαρκίῳ.
Ἔπειτα τί; ζωγροῦσι τὴν οἰκουμένην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἵπποις μὲν καὶ ὄχεσφι, καὶ ἀσπίσιν ὀμφαλοέσσαις.
Χαλκῷ τε, χρυσῷ τε καὶ ἀνδράσιν ἱπποκορυσταῖς.
Στρατηγοὺς κοσμοῦσιν ἐπιχθόνιοι βασιλῆες
Γυμνὸς δὲ Χριστοῖο λάβε στρατὸς ἔθνεα πάντα.



SISMANOGLIO MEGARO



ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΞΗΡΟΧΕΙΡΑ ΘΑΥΜΑ.

Ὡς ἐξανιστᾷς ἐκ τάφων νεκροὺς ὅλους, Οὕτως ἀνιστᾷς καὶ νεκρὰ βροτῶν μέλη.
Ὁ ξηρόχειρ δὲ μάρτυς ἐστί μοι, λόγε, Τὴν νεκρὰν αὖθις εὐπετῶς κινῶν χέρα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χείλεος ἐξ ἁγίου προθορῶν λόγος οἷα κελεύει.
Χεὶρ ξηρὰ προτάθητι, καὶ ἅπτεο, πάντα δ' ὀνέργει.
Ἡ δ' εὐθὺς προτέτατο, καὶ ἥπτετο, πάντα δ' ἐνήργει,
Ἦ ῥα καὶ ἀμφὶ χέρεσσιν ὑπ' οὔατα Χριστὲ φυτεύεις;

ΕΙΣ ΤΟ, ΟΤΙ ΕΝ ΒΕΕΛΖΕΒΟΥΛ ΕΚΒΑΛΛΕΙ ΤΑ ΔΑΙΜΟΝΙΑ.

Ὁ φυγαδευτὴς δαιμόνων γραμματέες Ὑμῖν καλεῖται δαιμονῶν; φεῦ τοῦ λόγου.
Καὶ τίς γ' ἂν ὑμῶν δαιμονίζοιτο πλέον; Τὰ δαιμονώδη ταῦτα τολμώντων λέγειν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δαιμονίων λεγεῶνας ἀπήλασε τηλόθι Χριστὸς
Ἐν Γαδάροις ἐπιταγδην, χοίροφι δ' ὦρσε φυγόντας,
Δαιμονιῶντα δ' ἔφαν γραμματέες αὐτὸν ἐκεῖνον.
Ἆρ' οὐχί σφιν ἐμήνισεν ἄγριος, ὦ ξένε, δαίμων;

ΕΙΣ ΤΟΥΣ ΑΙΤΟΥΝΤΑΣ ΣΗΜΕΙΟΝ.

Σημεῖον αἰτεῖς, γραμματεῦ, τὸν δεσπότην. Ὁ τυφλὸς οὐ σημεῖον ἐμβλέψας πάλιν;
Ὁ κωφὸς οὐ σημεῖον ἀκούσας πάλιν; Ὄντως φθόνος τὸ πρᾶγμα, καὶ φθόνου λόγος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἠελίοιο φάος, καὶ αἰθέρα δέρκετο τυφλὸς,
Ἐν δέ τε κωφὸς ἄκουσε, ῥόος δ' ἐπὶ αἵματος ἔστη,
Καὶ λεγεὼν ἔπτηξε, νεκρὸς δ' ἀνεκέθορε τύμβου.
Γραμματέες τί πλέον σημήϊον ἄμμιν ἀρέσσει;

ΕΙΣ ΤΟ, ΜΗΤΗΡ ΜΟΥ, ΚΑΙ ΑΔΕΛΦΟΙ ΜΟΥ,
οἱ ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ.

Ὦ δυστυχὴς ἄνθρωπε, καὶ φαύλου γένους, Θέλεις ἀνυψώσω σε πρὸς λαμπρὸν γένος;
Τὸ τοῦ Θεοῦ θέλημα πράττε γνησίως, Καὶ τοῦ Θεοῦ, γίνωσκε, συγγενὴς γένῃ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ γενεῆθεν ἀνὴρ παρὰ Χριστῷ ἔμμορε τιμῆς;
Οὐδέ τε θηλυτέρη μέγα πότνια ἔνθεν ἐδείχθη.

Κεῖνος ἀδελφεός ἐστί Θεοῦ, γενέτις δέ τε κείνη,
Οἵ σφε λόγους τελέουσι, καὶ ἔνδικα θεσμὰ ποιοῦσιν.

ΕΙΣ ΤΟΝ ΧΡΙΣΤΟΝ ΑΠΟ ΤΟΥ ΠΛΟΙΟΥ ΔΙΔΑ
σκοντα τοὺς ἐν τῷ αἰγιαλῷ.

Ἐφ' ὑδάτων, λέγουσι, φωνὴ Κυρίου Τὸ πλοῖον ἀθρεῖς, τὸν διδάσκαλον βλέπεις,
Τὸν αἰγιαλὸν τοιγαροῦν δραμὼν φθάσον, Καὶ τῆς σοφῆς ἄκουε διδασκαλίας,

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ πέλεκυς μακάριος, ὦ οὔρεος ἔνθεος ὕλη,
Εὐτυχέες δρυτόμοι, ναυπηγῶν δάκτυλα κεδνά,
Οἳ τόδε λέμβος ἔθεσθε θαλασσοπόρον καλίγομφον,
Ὧ, Θεὸς ἐμβεβαώς, διδάσκαλος ὤπασε γῆρυν.

ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΙΩΑΝΝΟΥ.

Ὦ κουφοσάναξ μιαρᾶς δοῦλος κόρης, Ὦ μωρὸς ὅρκος συμμερίζων τὸ κράτος
Ὦ δεῖπνον αἰσχρὸν αἵματος χλωροῦ πνέον Ὦ νεκρὸς ἔμπνους, καὶ τὸ μῦσος δεικνύων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἡ γένεσις βιότου, καὶ ζωῆς ἔπλετο ῥίζα,
Πρᾶξε φόνον δ' Ἡρώδης ἐν τελετῇ γενεσίων,
Οἴνοιο δὲ κρητῆρα κεράσσατο αἵματι θερμῷ.
Οὐχ ὁ θανὼν ἐσίγησε, λυγίζεο μαχλὰς ἀσελγής.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΥΣ ΠΕΝΤΕ ΑΡΤΟΥΣ ΘΑΥΜΑ.

Ὁ μάννα τὸ πρὶν εἰς Ἰουδαίους βρέχων, Νῦν ἐκ μόνης ἔθρεψε ἄρτων πεντάδος.
Τὴν πεντακισχίλιον ἀνδρῶν ἀγέλην. Καὶ τοὺς κοφίνους τῆς περισσείας ὅρα

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔντερα οὐκ ἐπέδησε τροφὴν, τάπερ ἔνδοθι κεύθει
Χριστὸς, ὅτε βραχέεσσιν ἀπείρωνας ἔτρεφεν ἄρτοις.
Τὰς δὲ τροφὰς αὔξησε τὰ δ' ἄγγεα ἔπλετο μάρτυς,
Οἷς τά γε λείψαν' ἔερκτο, πέλον δέ τε δώδεκα πάντα.

ΕΙΣ ΤΟΝ ΕΝ ΘΑΛΑΣΣΗ ΠΕΡΙΠΑΤΟΝ ΧΡΙΣΤΟΥ
καὶ Πέτρου.

Ἦλθες καθ' ὑγρῶν θαυματουργία μία, Συνῆλθέ σοι καὶ Πέτρος, αὕτη δευτέρα
Ἔσωσας αὐτὸν ἐκ βυθῶν, αὕτη τρίτη, Τοὺς ἀνέμους ἔπαυσας, αὕτη λοισθία



SISMANOGLIO MEGARO



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πεζὸς ὑπὲρ νώτοιο θαλάσσης Πέτρε πορεύῃ;
Πεζός. Ἀτὰρ τίς τοι πτέρ' ἐνάρσια θῆκε ποδοῖιν,
Ἢ τίς ἀπ' οὐρανόθεν δολιχὴν σειρὴν προπετάσσας
Ἐκ κεφαλῆς ἀνέχει σε; Τὸν ἐγγύθι δέρκεο Χριστόν.

ΕΙΣ ΤΗΝ ΧΑΝΑΝΑΙΑΝ.

Ὁ Χριστὸς ἄρτος. Ἰσραὴλ παῖς Κυρίου, Ἡ δ' ἐθνικὴ σύμπασα πατριὰ, κύων.
Ὁ παῖς τὸν ἄρτον ἀφρόνως ἀπεστράφη, Ὁ δ' οὖν κύων βέβρωκεν αὐτὸν ἀσμένως.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οἱ κύνες εὐνοέουσιν ἀγαθοῖς ἀρτοδότῃσι,
Μνημοσύνην κεύθουσιν ἐνὶ στήθεσσι φίλοισι.
Καὶ σὺ ἄρα Χαναναῖτις διὰ ταῦτ' ὀνομάζεο κύων.
Ἔνδε τὸν ἄρτον ἅπαντα κατέσθιε πιστὴ ἐοῦσα.

ΕΙΣ ΤΟ, ΤΙΝΑ ΜΕ ΛΕΓΟΥΣΙΝ ΟΙ ΑΝΘΡΩΠΟΙ ΕΙΝΑΙ,
Καὶ εἰς τὴν Πέτρου ἀπόκρισιν.

Μακάριος εἶ Πέτρε, συλλαβὼν τόσων Ὠνούμενος τὴν κλεῖδα τῆς ἄνω πύλης.
Καλούμενος δὲ Πέτρος, ὃς πρῴην Σίμων, Τὸ πᾶν δὲ δεσμῶν, καὶ τὸ πᾶν λύων πάλιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνθρωποί σε χαμαίφρονες Ἠλίου οἱ μὲν ἔφασαν,
Οἱ δέ τ' Ἰωάννην, οἱ δ' ἔμπαλιν Ἱερεμίαν·
Αὐτὰρ ὁ Χριστὸν ἔλεξε Θεοῦ πατρὸς υἷα Πέτρος,
Κληῗδας ἔνθεν ἔδεκτο, ταὶ οὐρανὸν εὐρὺν ἔχουσιν.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ.

Ὁρᾷς τὸ Θαβώρ; οὐχ ὁρῶ τίνα τρόπον; Τοῦ φωτὸς ἡ χύσις με κωλύει βλέπειν
Ὀρθῶς ἔλεξας, οὐδὲ γὰρ Ἰωάννης Ἰδεῖν ἐκαρτέρησεν, ἀλλ' ὑπεστάλη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τρεῖς μὲν ἄνω λαλέουσι Θαβὼρ ἀνὰ ἄκρα κόρυμβα.
Ἐκ δ' ἄρα τοῦ μεσάτοιο φόως ἀναδέδρομε θεῖον.
Τρεῖς δὲ πέσον πρανέες ποτὶ πέζαν οὔρεος ἄκρην,
Ἐδ' ἄρα τῷ μεσάτῳ πλείων χύτο φωτὸς ἀπορρώξ.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΣΕΛΗΝΙΑΖΟΜΕΝΟΝ ΘΑΥΜΑ.

Α'νθρωπε μὴ κέκραχθι. καὶ κράξω μέγα, Πάσχεις γὰρ οἷα; δαιμονᾷ μοι τὸ βρέ-
Καὶ ψηλαφᾷς τί τὸν διδάσκαλον, ξένε; (φος.
Ε'χεις ὃν αἰτεῖς. ἐγγὺς ἡ σωτηρία.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε Σατὰν κακόμητι τὸν ἄθλιον εἰς πυρὰ βάλλεις;
Εἰς πυρὰ, καὶ ὕδατα κρυόεντα, ὅπως μιν ὀλέσσῃς;
Κληρονόμος δαΐης σὺ καμίνου ἔπλεο, ληστά,
Αὐτὰρ ὅ κληρονόμος βασιλείας ἔπλετο θείας.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΚΗΝΣΟΥ ΑΠΟΔΟΣΙΝ.

Ι'χθὺς τὸ φασκώλιόν ἐστι τῷ λόγῳ, "Αγκιστρον αἱ κλεῖς εἷς στατὴρ τὸ χρυσίον.
Ε'μβαλλε τὰς κλεῖς Πέτρε, τὴν γάζαν λύε, "Εκβαλλε τὸν στατῆρα, τὸν κῆνσον
ΕΙΣ ΤΟ ΑΥΤΟ. (δίδου.

Η"ρ' ὅ γ' ὑπὸ σπλάγχνοισιν ἐκεύθετο ἰχθύϊ κῆνσος.
Καί μιν ἔειδες ἄνω διὰ μακροῦ βένθεος ἄλμης,
Η" σύ μιν ἀμφιχάραξας ἅμα προστάγματι θείῳ
Υ'γρῷ ἐνὶ σπλάγχνῳ ἁλιθρέμμονος ἰχθύος, ἄναξ.

ΕΙΣ ΤΟΝ ΝΟΜΙΚΟΝ ΠΛΟΥΣΙΟΝ.

Ω" χρυσὲ κακὸν ἄμαχον, κακὸν μέγα. Δι' ὃν κεκινδύνευκε τὴν σωτηρίαν
Ο' τῶν νομικῶν ἐντολῶν πασῶν φύλαξ. Μή μοι γένοιτο πλοῦτος, ἂν στερῇ Θεοῦ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

"Ωφελες ὦ πλούσιε πενέστερος ἔμμεν' ἁπάντων,
"Ωφελες ἐνδεέεσσι συνιζέμεν' ἀνθρώποισι,
Μηδὲ κομᾶν χρυσοῖο ταλάντεσιν, ὅς σε κολάει
Χριστῷ ἅμ' ἐλθέμεναι, σταυρὸν δ' ἀνὰ ὦμον ἀρέσθαι.

ΕΙΣ ΤΗΝ ΒΑΓΟΦΟΡΟΝ.

Ναὶ παῖδες εἰς ἔλεγχον ἀνδρῶν ἀφρόνων Κλαδηφοροῦντες εὐλογεῖτε τὸν λόγον.
Ναὶ στρώννυτε ξύμπαντα τοῖς πέπλοις τόπον, Ω'ς μηδὲ γῆς ὁ πῶλος αὐτῆς θιγγά-
ΕΙΣ ΤΟ ΑΥΤΟ. (νοι.

Οὔποτ' ἄνακτα δέδορκας ὑπὲρ πώλου ἀδμήτος
Κείμενα. βρεφέεσσι κροτούμενον ἀρτιγενέσσι,

Πτορ-

SISMANOGLIO MEGARO



Πτορθία χερσὶν ἔχουσιν ἐλαίης ἠδὲ κυπείρου.
Χριστὸν ἄνακτα θέασαι ὑπεὶρ ὄνου ἄρτι βεβῶτα.

ΕΙΣ ΤΟΝ ΧΡΙΣΤΟΝ ΕΞΕΛΑΥΝΟΝΤΑ
τοὺς Θεοκαπήλους τοῦ ἱεροῦ.

Ναὶ τύπτε, καὶ κόλαζε τῷ φραγγελίῳ Τοὺς κολλυβιστὰς τοὺς περιστερεμπόρους.
Τοῦ γὰρ πατρός σου, καὶ Θεοῦ τὴν οἰκίαν Ποιοῦσιν οἶκον ἐμπορίου, Χριστέ μου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ προβάτων τε, βοῶν τε, πελειάδων τ' ἐρατεινῶν
Οἶκος ὅδ', ἀλλά τ' ἄνακτος ἐμοῦ πατρός. ἔμποροι, οἶκος.
"Εξιτε, ἤ ῥ' ὑμέων περὶ ὤμους τύμμα βαλοίμην
Σχοίνῳ ἐνὶ πλοκερῇ, κατὰ δὲ χρόα καλὸν ἰάψω.

ΕΙΣ ΤΗΝ ΕΞ ΕΠΙΤΑΓΗΣ ΧΡΙΣΤΟΥ ΞΗ-
ρανθεῖσαν συκῆν.

Πεινᾷ Θεός σου, λῷστε, τὴν σωτηρίαν, Φαγεῖν δὲ καρπὸν ἀρετῆς ἐκ σοῦ θέλει:
Σὺ γοῦν συκῆ γένοιο καρπιμωτάτη, Μὴ καταραθῇς, καὶ ψυγῇς παραυτίκα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε συκῆν ἀρήσαο. οὕνεχ' οἱ ὤλετο καρπός.
Οὐδὲ γὰρ ἐν στελέχεσφι συκῆς σῦκα θυμὸς ἀρήσει.
Η" ῥα φυτῶν πέρι μὲν σέο, σῶτερ, φροντὶς ὀλίγη.
'Ες μερόπων δέ τ' ὄνειαρ ἀπείρονα μήχεα ῥάπτεις.

ΕΙΣ ΤΟΥΣ ΚΑΛΟΥΜΕΝΟΥΣ ΕΙΣ ΤΟΥΣ ΓΑΜΟΥΣ.

Θεοῦ γάμος τὸ πρᾶγμα, καὶ καλοῦσί σε' Σὺ δὲ προβάλλῃ τὴν γυναῖκα τοὺς βόας.
Τὸν ἀγρὸν, ἰοὺ τῆς φρενῶν ἐλαφρίας, Οὐδ' εἰς τὸ δεῖπνον ὡς ποδῶν ἔχεις
ΕΙΣ ΤΟ ΑΥΤΟ. (τρέχεις.

Νύμφα Θεοῦ μέγα χαῖρ' 'Εκκλησία ὀλβιόγαμε.
Νυμφίε χαῖρε λόγε. προτὶ δ' ἡμέας ἄρτι καλίζευ
Δεῖπνον ἐπ' ἀμβρόσιον, τό σοι ἐς γάμον ἄρτυνε πατήρ.
Ζεύγεα δ' ἄμμιν ἔρρε. δάμαρ θάνοι. ἀγρὸς ὄλοιτο.

ΕΙΣ ΤΑΣ ΔΕΚΑ ΠΑΡΘΕΝΟΥΣ.

Α'ν παρθένους ἔκλεισε τοῦ θείου γάμου "Ελαιον ἀπὸν, καὶ σκοτισθέντες λύχνοι.
Τί λοιπὸν ἐργάσαιο πόρνη καρδία, Καὶ μάχλας οὖσα, καὶ λύχνου στερουμένη;

ΕΙΣ

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθενικῶν δαΐδες μέγα λάμπετε, λάμπετε πᾶσαι
Νυμφίου ποτιδέγμεναι ἱμερόεσσαν ἐρωὴν
Νύκτα δι᾽ ὀρφναίην, ἀθρῶ δέ μιν ἐγγὺς ἰόντα.
Ἡ παρεοῦσα πρόσελθε, θύρας κλεῖσον δ᾽ ἀπεούσαις.

ΕΙΣ ΤΗΝ ΜΥΡΟΦΟΡΟΝ ΠΟΡΝΗΝ.

Κίρνα τὸ μύρον τῇ ῥοῇ τῶν δακρύων, Ποιεῖς γὰρ αὐτὸ τιμιώτερον γύναι.
Ἔκμασσε Χριστοῦ τοὺς πόδας ταῖς θριξί σου, Κἂν τὴν Ἰούδα ταῦτα κατηῇ κακί-

ΕΙΣ ΤΟ ΑΥΤΟ. ( αν.

Ναὶ τὸ μύρον βαρύτιμον ἔην γύναι, ὃ πρὸ ποδοῖιν
Χεῦες δεσποσύνοισι, κόμῃ δ᾽ ἀπομόργνυς ἄνακτα·
Ναὶ τὸ μύρον βαρύτιμον, ἀτὰρ τιμιώτερον ἔσχες.
Λύτρα γὰρ ἀμπλακίης πολυτρήμονος ἀντεκομίσσω.

ΕΙΣ ΤΟ ΜΥΣΤΙΚΟΝ ΔΕΙΠΝΟΝ.

Θύεις τὸ θῦμα, καὶ τὸ δεῖπνον ἐσθίεις, Καὶ κλᾷς τὸν ἄρτον ἄρτε, καὶ κρατὴρ πίνεις.
Ἄμφω γὰρ εἶ σύ, καὶ θυτὴρ καὶ θυσία, Ὁ δὲ προδώσων ἐσθίει σε μὴ τρέμων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δέρκεο τὸν θρασύχειρα τὸν αὐθάδη ἢ ῥάγε κεῖνον.
Ὃς βάλεν ἐν κανέῳ προπετῆ χεῖρ᾽ οὗτος ἐκεῖνος
Δείπνου ἀνεγρόμενος φιλίης λελάθοιτο, καὶ ἄρτου.
Καδδὲ προδῷ λῃσταῖσι διδάσκαλον· ὡς ἀπόλοιτο.

ΕΙΣ ΤΟ, ΠΑΤΕΡ ΕΙ ΔΥΝΑΤΟΝ ΠΑΡΕΛΘΕΤΩ
ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο

Μή μου κατεύχου Χριστὲ πρὸς τὸν πατέρα, Λέγων παρελθέτω με θανάτου πόμα·
Ἢ πῶς ἐγὼ τύχοιμι τῆς ἀφθαρσίας, Εἰ μὴ σὺ τοῦτο τοῦ ποτηρίου σπάσεις;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤφελες ὦ κακότεχνε καθευδέμεν Ἰσκαριῶτα.
Ἠΰτε Πέτρος, ἀείτε, καὶ ἀμφί μιν οἱ Ζεβεδαίου.
Μηδ᾽ ἐπὶ νύκτα πρόπασαν ἐγρήγορας, ὄφρα προδοίης
Χριστὸν ἄνακτα λόγον κακογνώμοσιν ἀρχιερεῦσιν.

ΕΙΣ



ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ.

Φιλεῖς, Ἰούδα, τὸν διδάσκαλον; Φίλει. Οὐδὲν φιλεῖν κώλυμα. πωλεῖς ἀργύρου;
Παραφρονοῦντος τοῦτο· τὸν γὰρ δεσπότην, Καὶ τὸν λυτρωτὴν πῶς ἂν αἰχμα-
( λωτίσῃς;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε φιλεῖς δολομῆτα διδάσκαλον ἐσθλὸν Ἰούδα;
Τίπτε φίλον κακοεργὲ μαχαιροφόρος ποτὶ ἄρνα
Ἔρχεαι οὐκ ἐρίσοντα· ἑκῶντοι ἕσπεται οἶος.
Θῦσον ὄφρ᾽ αἷμα λαβὼν ψυχῆς φλιὰν ἀμφιχρισαίμην.

ΕΙΣ ΤΗΝ ΕΚΚΟΠΗΝ ΤΟΥ ΩΤΟΣ ΜΑΛΧΟΥ.

Ζηλῶ σε Πέτρε τοῦ πολυζήλου πόθου Στεροῦντα Μάλχον ἀτέρου τῶν ὠτίων.
Ἀλλ᾽ εἰ παρήμην; καὶ παρῆν μάχαιρά μοι, Ἀμφοῖν ἂν ἐστέρησα τοῦτον ὠτίων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χριστομάχων ὑπότεμνε μαχαίρῃ οὔατα. Πέτρε,
Οὐ γὰρ ἄκουσαν ἄνακτος ἐφετμάων ἐρατεινῶν
Μὴ φείδου μηδὲ γλώσσης, μηδ᾽ ὄμμ᾽ ἐλέαιρε,
Πάντας ὁμῶς ἐνάριζε. Χριστοφονεῖς περ ἐόντας.

ΕΙΣ ΤΟΝ ΕΜΠΤΥΣΑΝΤΑ ΤΩ ΣΩΤΗΡΙ.

Δείλαιε τί δρᾷς; ἐμπτύεις τῷ δεσπότῃ Οὐ καὶ μόνον τὸ πτύσμα τυφλοὺς ὠμμάτου,
Ὁ Σατανᾶς σου τοῖς προσώποις ἐμπτύσοι. Ὦ μυρίων ἄξιε τῶν ἐμπτυσμάτων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐρανὸν ἀμφέπτυσσας ἀβέλτερε, ὅς ῥα θεοῖο
Θεῖα πρόσωπα πτύσας, ἃ φωσφόρος ἠΰτε λάμψαν
Οὔρεος ἀμφὶ κόρυμβα Θαβωρίου. ἦ ῥ᾽ ὅγε βάλλεις
Πτύσμα σοὶ ἐς τὸ πρόσωπον ἐλεύσεται ἄντα κατελθόν.

ΕΙΣ ΤΟΝ ΡΑΠΙΣΑΝΤΑ ΤΟΝ ΧΡΙΣΤΟΝ.

Τί γὰρ τοσοῦτον Ὀζὰν ἐξαμαρτάνεις; Ὡς ἐκθανεῖσθαι τῆς κιβωτοῦ θιγγάνων
Τί δ᾽ οὐ τοσοῦτον πλημμελεῖς ὑπηρέτα, Ὡς μὴ θανεῖσθαι φεῦ! ῥαπίζων τὸν
( λόγον;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνστρεφε τολμήεσσαν ἀτάσθαλε χεῖρα θεράπον,
Ἄνστρεφε, μηδ᾽ ἐπίσειε παρηΐδι παμβασιλῆος,
Φρῖξον, ὃ γὰρ κρατέῃσι κεραυνοφόρων νεφελάων,

Μή σε

SISMANOGLIO MEGARO

Μή σε βάλῃ πρηςῆρι, καὶ ἄγρια δάκτυλα καύσῃ.

ΕΙΣ ΤΗΝ ΑΡΝΗΣΙΝ ΠΕΤΡΟΥ.

Οὐ Πέτρος οὗτος ὃς χθὲς ἐθρασυνόμει, Ὡς οὐκ ἂν ἀρνήσαιτο τὸν διδάσκαλον;
Νῦν βλέψον αὐτὸν ὡς ἀπαρνεῖται τρίτον. Φωνεῖ δ᾽ ἀλέκτωρ, γνοὺς δὲ Πέτρος

ΕΙΣ ΤΟ ΑΥΤΟ. (δακρύει

Δισσὰ μὲν ἔκ σ᾽ ἐφόβησε κοράσσια, ὄλβιε Πέτρε,
Ἀρνήσω δὲ διδάσκαλον, ὃν περὶ φίλαο πάντων.
Αὐτὰρ ἅπαξ οἱ ἅπαντες ἐπιχθονίων βασιλῆες
Δειμάσε πολλὰ δράσειαν, ἀνήνεαι οὐδ᾽ ἄρ᾽ ἐκεῖνον.

ΕΙΣ ΤΟ, ΤΙΝΑ ΑΠΟΛΥΣΩ, ΒΑΡΑΒΒΑΝ Η ΧΡΙΣΤΟΝ.

Ἄφες, Πιλάτε, τὸν Βαραββᾶν ὃν βίῳ, Ἴσως μεταγνῷ, καὶ τύχῃ σωτηρίας·
Σταυροῦν δὲ τὸν σωτῆρα μὴ φειδὼ λάβῃς, Σταυροῖς γὰρ οὕτω τὴν ἐμὴν ἁ-

ΕΙΣ ΤΟ ΑΥΤΟ. (μαρτίαν

Ὢ φθόνος ἀνθρώποισι πάθος μέγα, νοῦ σε κακίςη,
Πῦρ ὀλοὸν, πτολέμοιο φάγον ςόμα, τέκνον ἐχίδνης!
Ὃν διὰ γραμματέες Χριςὸν μὲν ἔπεφνον Ἰησοῦν,
Βαραββᾶν δ᾽ ἀπέλυσαν ἀτάσθαλον ἄνδρα φονῆα.

ΕΙΣ ΤΗΝ ΣΤΑΥΡΩΣΙΝ.

Εἴρχθης, ἐπαίχθης, ἐῤῥαπίσθης Χριςέ μου. Ὁ ςαυρὸς ἤρθη, δεῦρο γοῦν σῶτερ πάθε.
Κέντου, προσηλοῦ τῷ ξύλῳ, χολὴν πίνε, Καὶ θνῆσκε τοῦ θανόντος ἀνθρώπου χάριν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ποῦ σέλας ἠελίοιο διῴχετο, ἠδὲ σελήνης;
Τίς δέ τε λατομίη πολιοὺς ἐτμήξατο πέτρους;
Τίς δὲ καταφθιμένοισιν ἐκέκλετο, ἄμπνυτε νεκροί;
Χριςοῦ καινοτόμησον ἁγνὸν πάθος, ὦ ξένε, ταῦτα.

ΕΙΣ ΤΟΝ ΕΝΤΑΦΙΑΣΜΟΝ.

Τί δακρύεις θάπτουσα Χριςὸν παρθένε, Πάλαι λαβοῦσα τῆς χαρᾶς τὰς ἐγγύας;
Οἰμωζέτω θάνατος, Ἅδης κλαιέτω· Σὺ δὲ τριταῖον τὸν σὸν υἱὸν ἐκδέχου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τύμβον ἐνὶ σφραγίδεσσι δυσίεροι ἀρχιερῆες
Κλείετε, καὶ πολέας περιίςατε ἀσπιδιώτας.

Οὐ



Οὐ σχήσουσιν ἄνακτος ἀνεγρομένοιο ἐρωήν.
Ἀλλ᾽ Ἀΐδου τε τάφου τε μοχλοὺς καταθραύσει ἀναςάς.

ΕΙΣ ΤΗΝ ΑΝΑΣΤΑΣΙΝ.

Ναὶ λὰξ ἐνάλλου τῷ θανάτῳ Χριςέ μου. Ναὶ πλῆττε τὴν ἄπληςον Ἅδου γαςέρα,
Ἕως ἂν οὓς πέπωκεν ἐξαναπτύσῃ· Καὶ λύε τοὺς σχεθέντας αὐτῷ δεσμίους.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔγρεο πρωτόπλαςε, παλαιγενὲς, ἔγρεο τύμβου,
Καμὲ λόγε ξυνάειρον, ἐμὸς δέ κεν υἱὶς ἐτύχθης.
Καμὲ δὲ παμμεδέων, μηδ᾽ ἡμέες ὧδε μένουμεν.
Πανσυδὶ πάντα φόως ποτιδέρκεσθ᾽ ἔθνεα νεκρῶν.

ΕΙΣ ΤΑΣ ΜΥΡΟΦΟΡΟΥΣ.

Ἰωάννα ποῦ, τῇ Σαλώμῃ συντρέχεις Φίλῃ Μαριάμ; εἰς Ἰησοῦ τὸν τάφον·
Καγὼ σὺν ὑμῖν. ποῦ δ᾽ ὁ νεκρὸς ἐκλάπη; Οὐκ ἐκλάπη γυναῖκες, ἀλλὰ ζῶν μένει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς λᾶαν μετάειρεν ὑπέρμεγα πῶμα τάφοιο;
Τίς δέ τε νεκρὸν ἄνακτα συλήσατο τύμβον ὀρύξας;
Σῶμα νεκρὸν συλάει τυμβωρύχος, αὐτὰρ Ἰησοῦς
Ἔγρετ᾽, ἐπεὶ Θεός ἐςι, Πέτρῳ φάτε ταῦτα γυναῖκες.

ΕΙΣ ΤΟ, ΧΑΙΡΕΤΕ.

Τὸ χαῖρε καὶ πρὶν ἐῤῥέθη τῇ παρθένῳ, Τὸ χαῖρε καὶ νῦν ταῖς γυναιξὶν ἐῤῥέθη.
Ἡ μὲν δέδεκτο τὴν χαρὰν τὴν ὑψόθεν, Αἱ δὲ κροτοῦσι τὴν χαρὰν τὴν ἐκ τά-

ΕΙΣ ΤΟ ΑΥΤΟ. (φου.

Θηλυτέρῃς προτέρῃσι παλαιγενὲς ἔπλετο πένθος,
Θηλυτέρῃς προτέρῃσι χαρὰν δότο Χριςὸς ἀναςάς.
Γήθεο κόσμος ἅπας, χειρῶν δ᾽ ἐπὶ κύμβαλα παῖζε,
Ὅττι σ᾽ ἄναξ ἀνέγειρεν Ἀΐδαο ἐκ πυλεώνων.

SISMANOGLIO MEGARO

# Μ Α Ρ Κ Ο Σ.

## ΕΙΣ ΤΟΝ ΜΟΓΓΙΛΑΛΟΝ.

Ἰατρὸν εὑρὼν μογγιλάλε τὸν λόγον, Τὴν γλῶσσαν ὑγίαινε, καὶ τρανῶς λέγε.
Τοῦ γὰρ λόγου παρόντος, οὐ φθέγξαιτό τις; Καὶ τοῦ ἰατροῦ, μογγιλαλήσειέ τις;

## ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μογγιλάλου γλῶσσάν ποθ᾽ ὑγίασας ὦ ἄνα Χριστὲ,
Καὶ μετά οἱ χείλεσφι λόγον πόρες ἀγλαόφωνον·
Αὐτὰρ ἐμὸν βραδύγλωσσον ἐπὶ στόμα γῆρυν ὀπάσσαις
Κραιπνοβάτιν, ταχέεσσιν ἐϊσκομένην πετεηνοῖς.

## ΕΙΣ ΤΗΝ ΤΑ ΔΥΟ ΛΕΠΤΑ ΠΡΟΣΕΝΕΓΚΑΣΑΝ ΧΗΡΑΝ.

Ψυχὴ παθῶν χήρευε τῶν ὁμοζύγων, Καὶ λεπτὰ προσκόμιζε τῷ λόγῳ δύο,
Τὸν νοῦν τε λεπτύνουσα, καὶ τὸ σαρκίον· Ὡς εὐλογηθῇς τῶν πολυχρύσων πλέον.

## ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ ψυχὴ βασίλεια μέγ᾽ ὀλβίη, ἀμφὶ γυναικὶ
Χήρῃ δυστυχέϊ ζάπλουτον ἄρ᾽ ἐσσὶ γύναιον.
Ἣ, δύο λεπτὰ βίοιο ἐχέγγυον οἷον ἔχουσα,
Ταῦτα Θεῷ προδέδωκας, ἀτὰρ σ᾽ ἀποδέξατο κεῖνος.

## ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ.

Ἄνελθε παράκλητε πρὸς τὸν πατέρα, Καὶ πέμπε παράκλητον ἄλλον τοῖς κάτω.
Ἄλλον προσώπῳ, μὴ γὰρ εἴποιμι φύσει, Οἷς ταυτότης ἄτμητος, ἡ τῆς οὐσίας.

## ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄγγελοι ἀμπετάνυτε ἐπ᾽ οὐρανίους πυλεῶνας,
Χριστὸς ἄναξ ἀνάεισιν, ἐρυθρά τε πέπλα Θεοῖο·
Καὶ τάδε γὰρ περίχρωσεν ἀλουργίδι αἵματος ἁγνοῦ.
Ῥύσιον ὃ βροτέης ἐπὶ πάσης χεύατο φύτλης.

SISMANOGLIO MEGARO



# Λ Ο Υ Κ Α Σ

## ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ.

Ὦ χαῖρε σεμνὴ τῆς ξένης ὀπτασίας, Θεὸν κυήσεις τοῦ τεραστίου λόγου!
Πίστευε τὴν κύησιν ἄῤῥενος δίχα. Ναὶ τοῦ Θεοῦ θέλοντος, ὡς γένοιτό μοι.

## ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄγγελος αἰγλήεις Γαβριὴλ ἐξ οὐλύμποιο
Ναζαρὲτ ἀμφιάϊξεν ἐπηράτου ἄγχοθι κούρης,
Χαῖρε δέ οἱ προσέειπε, τέκῃς Θεόν· ἡ δὲ μετεῖπεν,
Ὡς φῂς, ὡς δὲ γένοιτο, Θεοῦ δ᾽ ἐγὼ εὔχομαι εἶναι.

## ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Ὅρα γεραιὲ μὴ πέσηται τὸ βρέφος Ὑποτρεμούσης τῷ χρόνῳ τῆς ἀγκάλης·
Θεὸς πατὴρ αἰῶνος, ὃ βλέπεις βρέφος. Ὥστ᾽ οὐ πεσεῖται τὰς δὲ χεῖρας ἑδρά-(σει.

## ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθένος ἁγνοτόκεια νόμοιο κέλευθα περῶσα
Υἷα νεῷ πρόφερεν, Συμεῶνος θῆκε δ᾽ ἐπ᾽ ἀγκάς,
Ὃς κύκλα πόλλ᾽ ἐμέτρησεν ἀπειρεσίων λυκαβάντων.
Τοῦτο βρέφος προάναρχον ἰδεῖν ποτιδέγμενος αἰεί.

## ΕΙΣ ΤΗΝ ΕΝ ΙΕΡΟΥΣΑΛΗΜ ΥΠΟΜΟΝΗΝ δωδεκαέτους Ἰησοῦ.

Ἢ μὴ φθονοῦντες ἀκροᾶσθε γνησίως, Φαρισσιακὴ δύσθεος γερουσία·
Ἤ τι φθονοῦντες ἀκροᾶσθε τῶν λόγων, Ὧν παῖς ὁ παμπάλαιος Ἰησοῦς λέγει.

## ΕΙΣ ΤΟ ΑΥΤΟ,

Τίς ποτε παῖς ὁ κάθισσεν ἐφ᾽ ὑψηλοῖο θοώκου;
Ἐν δ᾽ ἀγορὴν συνάγειρε γεραιήν; οἷα δὲ βάσκει;
Δεῦρο περιστάντες μιν ἀκουσόμεθ᾽ ὅ ττι κελεύει.
Ἦ ῥ᾽ ὅγε παῖς Θεός ἐστι, Θεοῦ δέ τε ῥήματα φαίνει.

## ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΔΟΥΛΟΝ ΤΟΥ ΕΚΑΤΟΝΤΑΡΧΟΥ ΘΑΥΜΑ.

Ἔχεις Ἑκατόνταρχε τὸν δοῦλον πάλιν, Ἐν ζῶσι τὸν θανόντα, μὴ τοίνυν θλίβου.
Τοῦ ζω-

Τοῦ ζωοπαρόχου γὰρ ἐλθόντος λόγου, Πόσους ἂν ἐχρῆν δραπετεῦσαι θανάτους;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὄρφνα νυκτεσίφοιτος ἀπήλυθεν, ἔδυθ' ὑπέστη
Ἀντίον ἠελίου, δεινὴ δέ μιν ἔλλαβε φύζα,
Καὶ θάνατος δραπέτευσεν, ἐπεὶ πέλας εἴδετο Χριστόν,
Ζωὴ γὰρ τελέθησι, θανῆς δέκεν ἔπλετο λυτήρ.

ΕΙΣ ΤΗΝ ΜΑΡΘΑΝ, ΚΑΙ ΤΗΝ ΜΑΡΙΩΝ.

Ἡ Μάρθα ναὶ πύκτευε, ναὶ διακόνει, Καλὸν ξενίζειν τὸν Θεὸν, μὴ δυστάσῃς·
Ἡ Μαριὰμ ἄκουε τοῦ διδασκάλου, Θεοῦ λόγοι γὰρ ὡς γλυκεῖς ὑπὲρ μέλι·

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὖς πόδας ἀμφέπτηξεν Ἀδὰμ, περὶ δ' ἔτρεεν Εὔα
Δειελινῷ προτὶ κῆπον ὁδοιπορέοντος ἄνακτος,
Νῦν Μαριὰμ κατέχει, καὶ ἐν σφίσι χείλεα βάπτει,
Ἐνδέτε δεσποσύνους ὑπὸ λέξεις οὔασι βάλλει.

ΕΙΣ ΤΟΝ ΟΥ ΕΥΦΟΡΗΣΕΝ Η ΧΩΡΑ ΠΛΟΥΣΙΟΝ.

Τί ταῦτά σοι πλούσιε, καὶ φρονῶν πόνης; Ἀμᾶς μὲν ἁδρὰν εὔφορον γεωργίαν,
Κτίζεις δὲ μείζους ἀποθήκας, ἀλλ' ἄφρον Τὴν ἀποθήκην κτίζε τῶν σῶν ὀξέων

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δέρκεο τὸν δομέοντα νεοδμήτους ἀποθήκας
Πλούσιον, ὃς πολὺ ταχὺ τὸ λήϊον οἷον ἀμᾶται,
Οὗτος ἀθανάτοις μὲν ἐέλπεται ἔμμεν' ὁμοῖος,
Ἀλλά ἑ νὺξ ἐπίκηρον ἐλέγξεται ἡ παρεοῦσα.

ΕΙΣ ΤΗΝ ΣΥΓΚΥΠΤΟΥΣΑΝ.

Ὢ γραῦς χρεώσει τῇ ῥάχει μακρὰν χάριν, Ὡς αὐτοφυῶς προσκυνεῖς τῷ δεσπότῃ·
Τοίνυν σὺ μὲν λύθητι τοῦ πάθους γύναι, Ὁ δ' ἀρχισυνάγωγος ἀντιπασχέτω

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνθρωπόν σ' ἐδόμησε Θεὸς γύναι ὀρθὰ βεβῶσαν,
Ζωοβίην δέ σε πάθος ἐδείματο ἐς χθόνα κάμψαι,
Ἀλλά γ' ἄναξ ὤρθωσε Θεὸς πάλιν, αἰθέρα δὲ πρὸς
Δερκομένην ἐποίησε, ῥάχιν δ' ἀπάμερσε κύφωνος.





ΕΙΣ ΤΟΝ ΥΔΡΩΠΙΚΟΝ.

Ὑδρωπικὲ πρόσελθε τῷ Θεῷ λόγῳ, Πίστευσον αὐτῷ, καὶ ποταμοὶ κοιλίας
Τῆς σῆς ἀποῤῥεύσουσιν, ὡς αὐτὸς λέγει· Οὐ ψεύσεται γὰρ τῆς ἀληθείας στόμα·

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κύμασιν ἀμφ' ὑδάτων μὲν Ἰωνᾶς εὕρετο τύμβον·
Πλὴν καί γ' ὁ ὑδρωπικὸς ποτὶ γαστέρι ὕδατα θάψε.
Πρῶτα μὲν οὖν ἐσάωζε νεκρὸν Θεὸς, ἐκ δ' ἄγε τύμβου·
Ἄρτι δὲ τύμβον ἔσωσε, νεκρὸν δ' ἀπέωσε φονῆα.

ΕΙΣ ΤΟΝ ΑΣΩΤΟΝ.

Τὴν σὴν δαπανήσαντα, σῶτερ οὐσίαν, Καὶ χοιροβοσκήσαντα πλὴν στραφέντα με
Φιλεῖς ὑπαντῶν, καὶ κρατεῖς ὑπ' ἀγκάλην, Ὢ σπλάγχνα πατρὸς, τίς φρονῶν ἀπελπίσει;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεξιτερὴν παλάμην μοι ἐπ' αὐχένι τέκνον ἀνάρτα,
Ἴζεο, τὸν δακτύλιον ἀμφ' ἑὰ δάκτυλα βάλλευ.
Δμῶες ἐμοὶ τὸν ἄριστον ἰκρίοφι θύσατε μόσχον,
Νεκρὸς ὁ παῖς ποτ' ἔην καὶ ἄμπνυτο χαίρετε πάντες.

ΕΙΣ ΤΟΝ ΠΛΟΥΣΙΟΝ, ΚΑΙ ΤΟΝ ΛΑΖΑΡΟΝ.

Ὁ πλούσιος ζῶν, καὶ τελευτήσας πένης, Τὸν ζῶντα μὲν πένητα μέχρι καὶ τρύφους.
Θανόντα δὲ πλούσιον, αἰτήσας ὕδωρ, Ἀλλ' οὐ λάβῃς, τὸ χάσμα καὶ γὰρ ὡς μέγα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πλούσιε τῷ δὲ πένητι δίδου τρύφος, ἔσσεται ἦμαρ
Ὁππότε κἄν μιν ἀρήσε ὑγρῷ περὶ χεῖλος ἀλεῖψαι
Ὕδατι, καιομένην δὲ πυρὶ δροσίσασθαι γλῶσσαν.
Ἀλλά ἑ χάσμα κολούσει ὑπέρμεγα ἐγγὺς ἱκέσθαι.

ΕΙΣ ΙΑΘΕΝΤΑΣ ΔΕΚΑ ΛΕΠΡΟΥΣ.

Ὁ Σαμαρείτης εὐχαριστεῖ τῷ λόγῳ, Ὁ Σαμαρείτης, τοὺς δὲ λοιποὺς ἐννέα
Δεινὴ συνέσχεν ἀχαριστίας νόσος, Ὄλοιντο κακῶς καὶ λεπρωθεῖεν πάλιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δώδεκα μὲν Χριστοῖο μαθητῶν ἔπλετ' ἀριθμός.
Εἷς δ' ἄρα τῶν ἐξώλετ' ἀβέλτερος Ἰσκαριώτης·
Λεπροὺς δ' αὖτε δέκα Χριστοῦ χέρες ἰήσαντο,

Εἷς δέ οἱ αὖτι προσῆλθ᾽, οἱ δ᾽ ἐννέα πάντες ἀπέσαν.

ΕΙΣ ΤΟΝ ΦΑΡΙΣΣΑΙΟΝ, ΚΑΙ ΤΟΝ ΤΕΛΩΝΗΝ.

Ὢ χρῆμα σεπτὸν πανσθενὴς ταπεινότης, Σὺ καὶ μόνη παροῦσα σώζειν ἰσχύεις
Καὶ μὴ παροῦσα πάλιν ὀλλύεις μόνη· Τὰ τοῦ Τελώνου καὶ Φαρισσαίου λέγω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνδρε δύο προτὶ σηκὸν ἀμείβετον ἴχνια ταρσῶν,
Χ᾽ ὠ μὲν ἔην ἀρετῇσιν ἐπ᾽ ὀφρύας ὕψοσ᾽ ἀείρων,
Αὐτὰρ ὅγ᾽ ἀμπλακίῃσι κατὰ χθονὸς ὄμματα πῆγε·
Καὶ ῥ᾽ ὁ κακὸς νόσησε δικαιότερος, καὶ ἀρείων.

ΕΙΣ ΤΟΝ ΖΑΚΧΑΙΟΝ.

Ζακχαῖε μικρὲ μικρὸς ὢν τὸ σαρκίον, Ὑψηλὸς εἶ τὸ πνεῦμα καὶ κέδρου πλέον·
Ἄνελθε λοιπὸν τὴν συκῆν τάχος τάχος. Τὴν ἄμπελον δὲ τὴν ἀληθινὴν βλέπε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴ σοι ἐνὶ στήθεσφι πόθος πέσε Χριστὸν ἰδέσθαι,
Ἀμπλακίης πολύφυλλον ὑπέρβαθι συκομοραίην·
Ἐν χθονὶ γὰρ στείχοντα ἀμήχανον ἐστὶν ἰδέσθαι
Εἶδος θειότερον, κεκαλυμμένον ἠέρι πολλῷ.

ΕΙΣ ΤΗΝ ΕΞΑΙΤΗΣΙΝ ΤΟΥ ΣΑΤΑΝΑ.

Αἰτεῖς Σατανᾶ σινιάζειν τὸν Πέτρον Ὡς σῖτον; αὐτῷ φησιν. εἶτ᾽ οὐκ αἰσχύνῃ
Κακὴ κεφαλή; τὸν δὲ Πέτρον οὐ τρέμεις, Μὴ σινιασθῇς μᾶλλον, ἢ σινιάσῃς;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε Σατὰν κακοεργὲ λυγρὸν περὶ σῖνος ὀπάζειν
Πέτρῳ ἀμφαφάᾳς, ὥστ᾽ ὄρνιχες ἠεριφοῖται
Σῖτον ἐδηλήσαντο; σὲ μὰν πλέον οὗτος ἀγάγῃ
Σῖνος ἐς ἀργαλέον, τόθεν οὔπω φύξις ἔσεῖται.

ΕΙΣ ΤΟΝ ΔΙΚΑΙΩΘΕΝΤΑ ΛΗΣΤΗΝ.

Μακάριοι μὲν καὶ παλαισμοὶ μαρτύρων, Μακάριοι δὲ καὶ μονοτρόπων πόνοι,
Σώζοντες αὐτοὺς, ἀλλὰ τὸ μνήσθητί μου, Ὦ πιστὲ λῃστὰ, σύντομος σωτηρία.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δοιοῖς ἀνδροφόνοις ἐπιτίμιον ἶσον ἐτύχθη
Σταυρὸς ἀνισοτάτη δὲ προαίρεσις ἔπλετο τοῖσιν·

Ὃς



Ὃς μὲν ἄνακτι λόγῳ παροίνεεν ἄφρονα ῥέζων,
Ὃς δέ μιν ἐκ σταυροῖο λιτάζετο μνώεο φάσκων.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΚΛΕΟΠΑΝ, ΚΑΙ ΛΟΥΚΑΝ.

Ἔκλας τὸν ἄρτον καὶ πρὸ τοῦ πάθους, λόγε, Κλᾷς καὶ πάλιν τὸν ἄρτον ἐξηγερμένος·
Ἐκεῖ σεαυτὸν ἱερουργεῖς τῇ κλάσει, Ἐνταῦθα σαυτὸν ἐμφανίζεις τοῖς φίλοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ᾽ ὁ νῦν Κλεόπα φυλαίτατε ἔκλασεν ἄρτον,
Ἀγνὼς ἄμμιν ἀνήρ; ὁ διδάσκαλος· ἦ ῥ᾽ ὅγε Χριστός;
Ἦ μὰν ἀλλά ἑ δέρκευ; ἐπεὶ ἐμὸν ἔκφυγεν ὦπα,
Οὐχ ὁρόω. προμόλει, φίλοις δέ τε ταῦτα λαλῶμεν.

# ΙΩΑΝΝΗΣ.

ΕΙΣ ΤΟ, ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ.

Βροντὴ ξένη κτυπεῖ με, φεῦ! τίς ὁ κτύπος; Μηδὲν πτοηθῇς. ὁ Ζεβεδαίου γράφει.
Γράφει δὲ τί; πρόκυψον αὐτὸς, καὶ μάθε. Ὦ νοῦς, ἐν ἀρχῇ φησιν τὸν λόγον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πνεύματος ἐξ ἁγίου κλύων κλυτὸς Ἰωάννης,
Ὅσσα κλύεσκεν ἔφα. πρόχορος δ᾽ ἀνὰ δέλτον ἔλυξας
Μελιγράφοις δονάκεσσιν Ἰωάννου γράφε φωνάς·
Ἦν ὁ λόγος γὰρ ἐν ἀρχῇ ἐγήρυσεν ὁ Ζεβεδαίου.

ΕΙΣ ΤΟΝ ΕΝ ΚΑΝΑ ΓΑΜΟΝ.

Ἐκ παρθένου προῆλθες, ἐνδημεῖς γάμῳ, Ἄμφω γὰρ ἐν σοὶ, σῶτερ, εὐλογημένα
Καὶ θαυματουργεῖς θαῦμα τῷ καιρῷ πρέπον, Φύσιν τρέπων ὕδατος εἰς οἴνου φύσιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οἰνοχόοι φορέοιτε καλὸν δέ πας ἀμφικύπελλον
Καδδὲ μέθυ γλυκάζον ἀφύσσετε, ἐγγὺς ὁ πίθος·
Ἄμπελον ἄμμι φύτευσε Θεοῦ λόγος οἰνοδότειραν,
Ἄμπελον αὐτομάτην, σχεδίην δ᾽ ἐδομήσατο ληνόν.

ΕΙΣ

SISMANOGLIO MEGARO

ΕΙΣ ΤΟΝ ΝΥΚΤΕΡΙΝΟΝ ΜΑΘΗΤΗΝ ΝΙΚΟΔΗΜΟΝ.

Τῆς ἡμέρας τὸ δόγμα νυκτὶ μανθάνει Ὁ Νικόδημος καὶ φυγὼν νύκτα πλάνης
Τὸν ὄρθρον εἶδε τῆς νοητῆς ἡμέρας, Ὡς εἴθε Νικόδημος ἤμην Χριστέ μου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νύκτα δι' ἀμβροσίην Νικόδημός γ' ἠόα δῖαν
Εἴσιδε, Χριστὸν ἄνακτα φόως μέγα πατρὸς ἀνάρχου.
Καδδ' ἔμαθε σκοτόεντα πλάνης ζόφον, ἐν δὲ μυήθη
Ἦμαρ ἀπ' ἠελίοιο προπιδύον ἀρχεσιφώτου.

ΕΙΣ ΤΗΝ ΣΑΜΑΡΕΙΤΗΝ.

Γύναι τί μέλλεις, ῥίπτε σου τὴν ὑδρίαν, Καὶ συνδραμοῦσα τὴν Σαμάρειαν κάλει
Ὕδωρ πιεῖν ζῶν ἐκ φρέατος ἐνθέου, Κἂν ταῖς γυναιξὶ πρωταπόστολος γίνου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Θηλυτέρης πόρνῃσι Θεοῦ λόγε πρὸς Λόγον ἔρχῃ.
Ἐνδέθ' ὕδωρ πίεμεν ζητεῖς σφέας ἄφθονε πηγή·
Οὐδὲ γ' ἐς ἀμφὶ μόνοισι κατήλυθες ἄρσεσι σωτήρ,
Οὐδ' ἐσθλοῖσι βροτοῖσιν, ἀτὰρ φλαύροισι μάλιστα,

ΕΙΣ ΤΟΝ ΠΑΡΑΛΥΤΟΝ.

Σφίγχθητι παράλυτε πᾶν τὸ σαρκίον, Ὡς ἐκ τάφου δὲ τῆς στοᾶς ἀνηγμένος,
Τὴν βαστάσασαν βαστάσας κλίνην, τρέχε. Τῆς ἰσχύος σου Χριστὲ τῆς ἀμηχά-
ΕΙΣ ΤΟ ΑΥΤΟ. ( νου.

Ἄρθρα παρ' ἄρθρα δέθητε, καὶ ἐς βίον αὖτε μολεῖτε.
Ἐνδέτε νεῦρα τάθητε, καὶ ὀστέα ἔνδυτε ἰσχύν,
Ἐν δ' ὑμένες προχύθητε, δέμας δὲ καλύψατε τοῦτο.
Ἔγρεό μοι παράλυτε, κλίνην δ' ἀνὰ ἔρχεο ἀείρας.

ΕΙΣ ΤΟΝ ΤΥΦΛΟΝ.

Ὁ πηλὸς οὗτος πηλὸς ὀμματεργάτης, Οὐχ ὡς φύσιν σχὼν δημιουργὸν ὀμμάτων,
Ἀλλ' ὡς ὑπουργῶν τῇ κελεύσει τοῦ λόγου· Ὡς ἐμπτύσταις μοι Χριστὲ ταῖς ψυχῆς
ΕΙΣ ΤΟ ΑΥΤΟ. ( κόραις.

Ἄσμενος ἠελίου σε βλέπω σέλας, ἠδὲ σελήνης,
Οὐρανὸν ἀστερόεντα, πυρὸς φύσιν, ἠέρα δῖαν,
Καὶ ποταμοὺς, ψάμμον τε παράλιον, ἠδέ τε γαῖαν,

Ὄμ-

SISMANOGLIO MEGARO



Ὄμματα γάρ μοι πλάσσε Θεοῦ λόγος οὐ πρὶν ἐόντα.

ΕΙΣ ΤΟΝ ΛΑΖΑΡΟΝ.

Εἰ μακρὰν ἔξω Χριστὸς ἐσκύλευσέ σε, Ζῶν λόγῳ θάνατε Λαζάρους ὅλους,
Ὁποῖα κατάρατε λοιπόν σε δράσει Ἐλθὼν ἐπ' αὐτὸν τὸν βαθύν σου πυθμένα;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λύσατε λύσατέ μοι σκολιὰ προτιπλέγματα σαρκός,
Ἐκ δὲ καλύπτραν ἕλεσθε καρήατος ὦ κασίγνητοι,
Ὄφρα κόρας πετάσω, καὶ ἄμπνυμι, ἠδέτε μέλψω
Χριστὸν, ὅς ἔκ μ' ἐσάωσε τανηλεγέος θανάτοιο.

ΕΙΣ ΤΟΝ ΝΙΠΤΗΡΑ.

Ὦ δεῦρο Πέτρε νίψομαί σου τοὺς πόδας· Οὐ μή με νίψεις εἰς τὸν ἅπαντα χρόνον.
Εἰ μή σε νίψω, τῶν ἐμῶν ξένοι φίλων· Καὶ τὴν κεφαλὴν, καὶ τὸ λοιπὸν σαρ-
ΕΙΣ ΤΟ ΑΥΤΟ. ( κίον.

Νίπτεο τοῖσσι πόδεσσιν, ἀτὰρ κραδίηφιν ἄνιπτος·
Ὡς ὄφελον πεπάλαξο πρόπαν δέμας αἴσχεϊ πηλοῦ
Μηδὲ θεοκτονίης ἐνὶ τέλματι ἔχρανας ἦτορ.
Χριστὸν ὅταν προδέδωκας Ἰουδαίοις, ὦ Ἰούδα.

ΕΙΣ ΙΩΑΝΝΗΝ ΕΜΠΙΠΤΟΝΤΑ ΤΩ ΣΤΗΘΕΙ ΤΟΥ ΧΡΙΣΤΟΥ.

Εἰς στῆθος ἁγνὸν ἐμπεσὼν τοῦ δεσπότου Ἰωάννη, ῥύακας ἠρύσω πόσεως.
Ὡς παμμυρίους, ναὶ μὰ τὸ στῆθος τόδε, Δι' ὧν πολὺς ῥεῖς εἰς ὅλην οἰκουμέ-
ΕΙΣ ΤΟ ΑΥΤΟ. ( νην.

Χριστοῦ ἐνὶ στήθεσφι λελαθότας ἐς πυλεῶνας
Κύψεν Ἰωάννης, καὶ ἐσείδετο δόγματα θεῖα·
Ἄσσα δ' ἔειδεν ἔειπε, καὶ ἔκφορα θήκατο θνητοῖς·
Ἐν ἀρχῇ γὰρ ἔην ὁ λόγος φάτο, θαῦμα διδάσκων.

ΕΙΣ ΤΗΝ ΑΠΟΚΑΘΗΛΩΣΙΝ.

Τολμηρὲ Νικόδημε ῥῖψον τὴν σφύραν, Μὴ συντριβῇ τι δεσποταῖον ὀστέον·
Ἡ λάβις ἀρκεῖ, καὶ τὸν ἧλον ἑλκέτω· Εὖ τῶν χερῶν, μετελθὲ λοιπὸν τοὺς
ΕΙΣ ΤΟ ΑΥΤΟ. ( πόδας.

Δάκτυλά τοι Νικόδημε προήλυθε δάκτυλα Θωμᾶ.
Θωμᾶς γὰρ μετόπισθε καὶ εἰς τύπον ἔβλεπον ἥλων.

Αὐ-

Αὐτὰρ σὺ πρότερός τε καὶ αὐτοὺς ἔδρακες ἥλους,
Ἐνδ᾽ ἱερὴν ἐδίφησας ὑγρὴν ἔτι πλευρὰν ἄνακτος.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΘΩΜΑΝ.

Πῶς ἦλθες ἔντος τῶν θυρῶν κεκλεισμένων; Καθὼς ἀπῆλθον τοῦ τάφου φρουρουμένου.
Καὶ πῶς ἐκεῖθεν ἐξελήλυθας λόγε; Ὡς πρὶν προῆλθον ἐκ πύλης κεκλεισμένης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἅπτεο τῆς τρωθείσης λόγχῃ Δίδυμε πλευρᾶς,
Ἅπτεο, καὶ πίστευε, ἐμὴν δ᾽ ἐπιδέχνυσο θέσπιν·
Ἔσσεται ἦμαρ, ὅτάν ποτε καὶ τεὰ πλευρὰ νυγῶσι
Σιδαρέῃς λόγχῃσι διαμπερὲς Αἰθιοπῆες.

ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Μυστηριώδη τὴν πανήγυριν βλέπω· Μήτηρ τελευτᾷ τοῦ γ᾽ Ἰησοῦ Μαρία,
Θεὸς δὲ λαμβάνει τὸ πνεῦμα μητέρος, Καὶ καινὸν ἄνθει τοῖς ἀποστόλοις πτίλον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πεζὸς ἔφυς Πέτρε, γῆς γὰρ ἔφυς, τίς ἀναίνεται ἔμφρων;
Ἀλλά γε κῦμα πόδεσσι περήσαο, θαῦμα ἰδέσθαι·
Ἠέρα νῦν δὲ πέτω βιοθρέμμονα, πνοιοδοτῆρα.
Ὕστερον αὖτ᾽ ὀλίγον καὶ ἐς πόλον αὐτὸν ἀνέλθῃς.

# ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ.

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

Περιστερὰ τὸ πνεῦμα τῷ διδασκάλῳ,
Γλῶσσαι πυρὸς τὸ πνεῦμα τοῖς ἀποστόλοις.
Κατέρχεται γὰρ εἰς ὑπηρέτας λόγου, Καὶ συμφλέγειν μέλλοντας εἰδώλων πλάνην.

ΕΙΣ ΤΟ ΑΥΤΟ,

Πέρσαι πυρσολάτραι πυρὸς ἄλλου τίσατε φύσιν,
Ὃ πρὸ διὰ στομάτων ὑποφήταις ἔρχετ᾽ Ἰησοῦ,
Τίσατε, ὄφρα φάος μηδὲ φλόγα ἔνθεν ἄροιτε,
Δυσσεβέας πρήθουσαν, ἀγρώστιδος ἤΰτε χόρτον.





ΕΙΣ ΜΑΤΘΙΑΝ ΤΟΝ ΙΟΥΔΑ ΤΟΠΟΝ ΑΝΑΠΛΗΡΟΥΝΤΑ.

Ἴσθι καὶ σὺ καλὸς, ἀλλ᾽ ὁ Ματθίας Τὸν κύκλον ἐπλήρωσε τῶν ἀποστόλων,
Τὴν ἀξίαν γὰρ λαμβάνει καὶ τὴν χάριν Ἀφ᾽ ἧς Ἰούδας ἀφρόνως ἀπεῤῥάγη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μωϋσέως παλάμῃσι τροπάσκετο ἔθνεα πάλαι,
Νῦν δὲ Πέτρου παλάμῃσι θεουδέος ἕλκετ᾽ ἄνωθεν
Πνεῦμα μέγας παράκλητος ἐπ᾽ ἀνδρομέῃσι κεφαλῆς·
Ματθίου ἀμφὶ κόρυμβα κόρας βάλευ, ὥστε δαείης·

ΕΙΣ ΤΗΝ ΚΑΤΗΧΗΣΙΝ ΠΕΤΡΟΥ.

Πέτρος κατηχεῖ, καὶ τίς ἀπειθὴς μένει; Πέτρος διδάσκει, καὶ τίς οὐ τρέμει κλύων,
Τοῦ πνεύματος λαλοῦντος ἐν γλώσσῃ Πέτρου; Ὢ γλῶσσα σεπτὴ πῦρ λαλεῖς, ἢ πῦρ πνέεις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πέτρος ὅδ᾽ ἀτρεκέεσσιν ὑπὸ στομάτεσσι διδάσκει
Χριστὸν, ἄθρει δ᾽ ἀΐδηλον ἀπὸ φλόγα, λῶστε, κιοῦσαν
Γλώσσης, ἥ μιν ἀνήνατ᾽ ἐπὶ σταυροῖο βεβῶτα.
Κέκλυτε τῶνδε λόγων ἀλιτρὸς, κέκλυτε πάντες.

ΕΙΣ ΤΟΝ ΥΠΟ ΠΕΤΡΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ ΙΑΘΕΝΤΑ ΧΩΛΟΝ.

Χωλὲ προσαίτει. Πέτρος ἐγγύς ἐστί σου· Ἀργύριον μὲν οὐ λάβῃς, ἢ χρυσίον,
Ἀνάργυρον δὲ τὴν ἰατρείαν λάβῃς· Λόγῳ γὰρ ἄρτι σῶσαι δείξει καὶ μόνῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χωλὸς ἀνὴρ ἀνὰ σηκὸν ἐβήσατο, ἐκδ᾽ ἄρα σηκοῦ
Ἀρτύπος ἦλθε, Πέτρος γὰρ ἐκέκλετο ὀρθὰ βαδίζειν·
Ἀτὰρ ἀτασθαλίῃ κακομήχανος ἀρχιερήων
Ἐν κραδίῃ χώλευσε, καὶ ἔμπαλι βήσατο χωλός.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΑΝΑΝΙΑΝ ΚΑΙ ΣΑΠΦΕΙΡΑΝ.

Τί ταῦτα, Πέτρε, θανατοῖς Ἀνανίαν Ἅπαξ ἁμαρτήσαντα; καὶ μὴν οὐχ ἅπαξ.
Ἀπειράκις δὲ συμπαθεῖν ἐπετράπης. Ναὶ, τοῦ κακοῦ δὲ τὴν ἀπαρχὴν κωλύω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀνανίην ποτ᾽ ἔπεφνε Πέτρου λόγος, οὕνεκα πνεῦμα
Ψεύσατο παμμεδέοντα βασιλέα, τῆς δέκαν ὠνῆς
Κλέψαν ἑῶν κτεάνων, ἀπὸ δ᾽ εἵλετο μοῖραν ἐκεῖθεν



SISMANOGLIO MEGARO

Ψευδολόγοι τρομέωμεν, ὁ γὰρ τύπος ἐγγύθι κεῖται.

ΕΙΣ ΤΟΥΣ ΥΠΟ ΤΗΣ ΣΚΙΑΣ ΠΕΤΡΟΥ ΙΩΜΕΝΟΥΣ.

Ἂν σκιὰ Πέτρου τὰς νόσους ἄρδην λύῃ, Τί λοιπὸν ἐργάσαιτο ταύτας; εἰπέ μοι·
Ὁ Πέτρος αὐτὸς, ϗ τὸ τοῦ Πέτρου στόμα; Πάντως πλέον σχῇ τῆς Πέτρου σκι-
(ᾶς Πέτρος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἡ σκιὰ οὐκ ἀτρέκεια, Πέτρου δέ τε ϗ σκιὰ αὐτὴ
Ἀτρεκέως νοσέοντας ἰήσατο, θαῦμα ἰδέσθαι·
Τοῖος ἐπισκιάοις με μακάρτατε Πέτρε νοσεῦντα,
Μηδέ τε τοῖος ἐὴς, οἷός ποτε ἀμφ' Ἀνανίην.

ΕΙΣ ΤΗΝ ΦΥΛΑΚΗΝ ΠΕΤΡΟΥ, ΚΑΙ ΤΗΝ ΥΠ ΑΓΓΕΛΟΥ ΛΥΣΙΝ.

Ὁ δυνατὸς τὰ πάντα δεσμεῖν, ϗ λύειν, Δεσμεύεται νῦν, ϗ καθείργνυται Πέτρος
Ἀλλ' ἄγγελος τὰ κλεῖθρα τὰ κλοῖα κλάσας, Ἑωθινὸν κήρυκα πέμπει τοῖς
(ὄχλοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴρξατε Πέτρον ὕμες, Χριστὸς δ' ἀπέλυσ' ἱερῆες,
Χριστὸς Πέτρον ἔλυσε, ϗ ἀμφαδὰ πέμπε διδάσκειν.
Χριστὸν δ' οὐκ ἂν ἔλυσε, μόρου δ' ἀνεσώσατο Χριστός.
Δυσσεβέες πείσθητε, νεκρῶν γὰρ ἀπέγρετ' Ἰησοῦς.

ΕΙΣ ΤΗΝ ΣΥΜΒΟΥΛΗΝ ΓΑΜΑΛΙΗΛ, ΟΤΙ ΔΕΙ ΜΗ
κωλύειν τὸ κήρυγμα.

Ἄφες πονηρὲ τοὺς ἀποστόλους λέγειν. Γλώσσας πυρὸς φέρουσι· φρίξον, ἐφεύγης
Θεῷ γὰρ οὐκ ἂν ἀντιπράξαι ἰσχύσης, Ὁ σὸς Γαμαλιὴλ σε πειθέτω λέγων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ' ὁ πρεσβυτέροισι καλὴν ἀρτύνατο βουλὴν
Ἐσθλὸς ἀνὴρ, μεθέμεν Θεοκήρυκας ὀρθ' ἀγορεύειν;
Μηδὲ Θεοῦ προπάροιθεν ἀτάσθαλα δάκτυλα τείνειν;
Γαμαλιὴλ ὅδ', ἄριστε Φαρισσαῖος νομομαθής.

ΕΙΣ ΤΗΝ ΕΚΛΟΓΗΝ ΤΩΝ ΕΠΤΑ ΔΙΑΚΟΝΩΝ.

Ἥλιος ἄναξ ἑπτὰ τῶν πλανωμένων, Στέφανος ἄναξ ἑπτὰ τῶν διακόνων·
Ὁ μὲν τριῶν ὕπερθε, ϗ τριῶν κάτω, Ὁ δὲ πρὸ τῶν ἓξ εὐλόγως τεταγμένος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νικάνορα, Πρόχορόν τε, Τίμωνά τε, Νικόλιών τε
Παρ-



Παρμενᾶν τε, Φίλιππόν τε, Στέφανόν τε θεουδῆ,
Τοὺς δὲ Πέτρος προέταξε διακριδὸν, ὄφρα τραπέζας
Πιστοῖς ἀρτυνέωσι διήκονοι ἐσθλοὶ ἐόντες.

ΕΙΣ ΤΟΝ ΛΙΘΑΣΜΟΝ ΣΤΕΦΑΝΟΥ.

Χρυσοῦν ὁ μάρτυς ϗ πρὸ τῶν λίθων στέφος, Ἡ λαμπρότης γὰρ μαρτυρεῖ τῆς ἰδέας·
Βληθεὶς δὲ λοιπὸν ὕστερον ϗ τοῖς λίθοις, Χριστῷ προσήχθη λιθοκόλλητον στέ-
(φος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὔρεος ἀμφὶ κόρυμβα Θαβὼρ ἀνέλαμψεν Ἰησοῦς,
Καί μιν ἀφρων κατέπεφνε ϗ ἄγριος οἶκος Ἰούδα.
Λάμψε δὲ ϗ Στέφανος κατὰ φῶς μέγα ἠελίοιο,
Καὶ πολιοῖσι πέτροισι κατέκτανεν αὐτὸν ἐκεῖνος.

ΕΙΣ ΤΗΝ ΕΠΙ ΣΙΜΩΝΙ ΤΩ ΜΑΓΩ ΖΗΤΟΥΝΤΙ ΩΝΗ-
σασθαι τὸ πνεῦμα ἀπόφασιν Πέτρου.

Τὸ χρυσίον σου συναποιχήσαιτό σοι Ἄπιστε, πιστὲ δοῦλε χρημάτων Σίμων,
Τοῦ πνεύματος γὰρ οὐ πιπράσκω τὴν χάριν· Σίμων ὁ Πέτρος πρὸς Σίμωνα
(τὸν Μάγον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤνιον ἀργυρίοιο δοκεῖς Μάγε τὸν παράκλητον,
Ὤνιον, ὅς με λέλυκεν ὑπηρεσίας Βελίαο·
Δοῦλος ἄρ' εἶ Βελίαο, ϗ ἀργύρου ἀργοχρώτος.
Οἷς μετὰ λοῖσθον ὄλεθρον ἐφίξεαι ἄθλιε Σίμων.

ΕΙΣ ΤΑ ΚΑΤΑ ΦΙΛΙΠΠΟΝ ΚΑΙ ΚΑΝΔΑΚΗΝ.

Ὕδωρ ἰδοὺ Φίλιππε, φησὶ Κανδάκης, Τί κωλύει με τὴν Θεοῦ λαβεῖν χάριν;
Φίλιππος, οὐδὲν, ϗ τὸν ἄνδρα βαπτίσας Ἐκεῖ παρῆκεν, ἁρπαγεὶς ὑπ' ἀγγέ-
(λου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καί σοι μὲν Τομίῃ, ὠκύτατον εἵπετο ἅρμα
Ἡμιόνοισι νέοισι φορεύμενον Αἰθιοπεῖης·
Ἅρμα δὲ Φιλίπποιο ταχύτερον, ἐξ ἅμα Γάζης
Εἰς Ἄζωτον ἰὸν, τάχα πώλους ζεύξατ' ἀμείνους.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΠΑΥΛΟΥ ΚΛΗΣΙΝ.

Θεὸς καλεῖ σε, Παῦλε, ϗ Θεὸς χρίει· Οὐκ ἦν γὰρ εἰκὸς οὐδὲ τούτῳ τῷ τρόπῳ.
Καθυστερεῖν αὐτοῦ κορυφαίου Πέτρου, Οὐ μηδ' ὢν αὐτοῖς ὑστερίζεις τοῖς θρόνοις

ΕΙΣ



SISMANOGLIO MEGARO

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀνανίην ποτ' ἔπεφνε Πέτρος μέγας ἀφρονέοντα,
Ἀνανίης δ' ἐσάωσε φρονῶν μέγαν ἔμπαλι Παῦλον·
Δέρκεο, Παῦλε φόως, ϗ ἠελίου, ϗ Ἰησοῦ,
Δέρκεο, ϗ κήρυσσε κατὰ χθόνα πᾶσαν ὀρέων.

ΕΙΣ ΤΗΝ ΑΠΟ ΔΑΜΑΣΚΟΥ ΔΙΑ ΣΑΡΓΑΝΗΣ ΦΥΓΗΝ ΠΑΥΛΟΥ.

Ἀναπνέω σε Παῦλε, προσκέχηνά σοι. Ἀλλ' οὐχ ὁρῶ σε· νῦν πρὸς οὐρανοὺς τρέχεις.
Βυθοδρομεῖς νῦν, νῦν σε κρύπτει Σαργάνη. Ὦ πτηνὲ πεζὲ ποῦ σέ τις δραμὼν
( φθάσει;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παῦλος ὅδ' ἐν σπυρίδι προφυγὼν παλάμας ἀάπτους,
Λαθριδίως ἵεται διὰ τείχεος ὑψικορύμβου.
Ἀλλά γε μικρὸν ὅσον τρίτον οὐρανὸν ἀμφιπολεύσει,
Αὐτόν τ' εἰς παράδεισον ἀΐξεται ἔνθεν ἀερθείς.

ΕΙΣ ΤΑ ΚΑΤΑ ΑΙΝΕΑΝ ΚΑΙ ΤΑΒΙΘΑ ΘΑΥΜΑΤΑ ΠΕΤΡΟΥ.

Τὸν Αἰνέαν ἤγειρεν ἐν Λύδᾳ Πέτρος, Ἐν Ἰόπῃ δὲ τὴν Ταβιθὰ δορκάδα·
Τὸν μὲν τὸ σῶμα παντελῶς παρειμένον, Τὴν δ' εἰσιοῦσαν τοῦ θανάτου τὰς
( πύλας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χαλκέου ἐξ ὕπνοιο μαθήτρια δορκὰς ἀνίσω,
Πέτρος ὅδ' ἄγχι πάρεσι, τάχος τάχος ἔγρεο κούρη·
Χήρης δ' ἀμφὶ γυναιξὶ παρηΐδα μόρξον ἀφ' ὑγρὴν
Αἵ σε περικλαίουσιν ἀγαθοεργόν περ ἐοῦσαν.

ΕΙΣ ΤΗΝ ΑΠ ΟΥΡΑΝΟΥ ΔΕΙΧΘΕΙΣΑΝ ΠΕΤΡΩ ΣΑΓΗΝΗΝ.

Φεῦ τῆς σαγήνης, οὐρανοῦ πλουτεῖ πλάτος, Τὰ πάντα συσφίγγουσα τῶν ζώων γένη,
Ἃ Πέτρε θύσας ἀνυποστόλως φάγε· Οὐδὲν γὰρ ἀκάθαρτον ὁ Χριστὸς λέγει·

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔθνεα πάντα δέχνυσο, ϗ ἔγγραφε παισὶ Θεοῖο,
Πέτρε. τὰ γάρ σοι κέλλετ' ἀπ' αἰθέρος ἔργα σαγήνη·
Πάντα Θεοῦ τελέθησι ϗ εἰς Θεὸν αὖτε μολείτω·
Κληρονόμον δ' ἐθνέων Χριστὸν φάτο καί τις ὁρώντων.

ΕΙΣ ΤΗΝ ΣΦΑΓΗΝ ΙΑΚΩΒΟΥ.

Τέθνηκεν ὁ πρώταθλος ἐκ πολλῶν λίθων, Ὁ δεύτερος δὲ μάρτυς ἐξ ἑνὸς ξίφους.

Ἰσο-



Ἰσοκλεὲς δὲ τοῦ Στεφάνου τοῖς λίθοις Τὸ κτεῖναν Ἰάκωβον Ἡρώδου ξίφος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὁ κλυτὸς Ἰάκωβος ὀλύμενος ἀμφὶ μαχαίρῃ,
Ἰδοὺ, ἔειπε, πίνω τὸ ποτήριον, ὃ προπέπωκας
Χριστὲ σὺ, ϗ βαπτίζομαι, ὡς προβεβάπτισαι αὐτός.
Αἵματος ἐξ ἰδίοιο λελουμένος, ἀλλά με δέξαι.

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΦΥΛΑΚΗΝ ΠΕΤΡΟΥ, ΚΑΙ
τὴν ὑπ' ἀγγέλου λύσιν.

Κἀνταῦθα πάλιν φυλακίζεται Πέτρος, Φορεῖ δὲ δεσμὰ, ϗ σιδηρὰς ἁλύσεις·
Κἀνταῦθα πάλιν ἄγγελος Πέτρον λύει, Καὶ κλᾷ τὰ δεσμὰ, ϗ ποδηγεῖ προ-

ΕΙΣ ΤΟ ΑΥΤΟ. ( τρέχων.

Ἄγγελος αἰγλήεις περὶ Πέτρῳ ἕσπερος ἦλθεν
Εἱρκτὴν ἀμφιμένοντι, ὕπνος δέ οἱ ὄμματα κάμπτε.
Στῆ δ' ἰθὺ, λὰξ δ' ἐπάταξεν, ὁ δ' ἥλλατο, αἱ δ' ἄρ' ἁλύσεις
Ἔκπεσον αὐτόματοι, ϗ ἔκτοθεν ἤλυθε Πέτρος.

ΕΙΣ ΤΗΝ ΤΕΛΕΥΤΗΝ ΗΡΩΔΟΥ.

Ὁρᾷς ἐκεῖνον τὸν μέγαν, τὸν ἐνθρόναν, Οὗ τοὺς λόγους σέβουσιν ὡς Θεοῦ λόγους;
Ἐκεῖνος οὗτος, ἀγγέλῳ πεπληγμένος, Σκώληξι βρωθῇ ϗ παρέλθῃ τὸν βίον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἡρώδη τί γέγηθας ἐφ' εἵμασι βασιλικοῖσι,
Τίπτε δέ σε πλανάουσιν ἀλάστορες ἀνέρες, ἄφρον;
Ῥήματα σοῦ γερέθοντες Θείους ἠΰτε χρησμοὺς;
Ἄγγελος ἄγχι πάρεσι ταλάντατε, ὅς σ' ἀπολέσσει.

ΕΙΣ ΤΗΝ ΔΗΜΗΓΟΡΙΑΝ ΠΑΥΛΟΥ.

Ὅπου πάρεσι Παῦλος, ἡ χάρις πόση! Ὅπου διδάσκει Παῦλος, ἡ πειθὼ πόση!
Ἄκουε Παύλου τῶν μελισταγῶν λόγων, Σίμβλων δ' ἀποῤῥάγηθι τῶν ἡμετέρων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παῦλος ἔφα, σῶμα Χριστοῦ ἔφα, πρόσιτ' ἔθνεα πάντα,
Ἔθνεα πάντα πρόσιτε, Θεοῦ δὲ κλύοιτε λαλοῦντος·
Παύλου ἐνὶ στοματέσσιν ὅλοι παράκλητοι ἔασσιν,
Ἀμφὶ δέ οἱ παλάμαις σημήϊα πάντα τελεῖται.

ΕΙΣ

SISMANOGLIO MEGARO

ΕΙΣ ΤΟΝ ΕΝ ΛΥΣΤΡΟΙΣ ΙΑΘΕΝΤΑ ΥΠΟ ΠΑΥΛΟΥ ΚΑΙ βαρνάβα χωλὸν, καὶ ὅπως ἔδοξαν τοῖς ἐκεῖ Θεοί.

Ἑρμῆς ἔδοξας Παῦλε, καὶ Ζεὺς Βαρνάβα, Τοῖς ἀμφὶ Λύστροις δεισιδαιμονεστέροις.
Χωλὸν θεραπεύσαντες· ἀλλ' ὑμῖν τότε Τὸ δοῦλον ὑμῶν ἐκ ἀπηρνήθη γένος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἰ Θεὸν ᾠήθητε κακόφρονα ἔθνεα Παῦλον
Χωλὸν ἱστάμενον, τί νομίσσετε λοιπὸν ἐκεῖνον,
Ἦμος ἐπ' αἰθερίην κουφίζεται ἄντυγα τρίτην
Ζωὸς ἐών; τάχα γὰρ καὶ ὑπέρθεος ὔμμι φανεῖται.

ΕΙΣ ΤΟΝ ΕΝ ΛΥΣΤΡΑ, ΛΙΘΑΣΜΟΝ ΠΑΥΛΟΥ.

Ἐβάλλετε Στέφανον ἁδροῖς τοῖς λίθοις, Καὶ Παῦλος αὐτοῦ τῶν λιθαστῶν ἦν μέρος
Νῦν βάλλεται καὶ Παῦλος ἁδροῖς τοῖς λίθοις. Καὶ τὸν Στέφανον ἐκ Θεοῦ λα

ΕΙΣ ΤΟ ΑΥΤΟ. (βὼν ἔχει.

Παῦλε σὺ Χριστὸν ἄνακτα μιμήσαο ἀμφὶ λιθασμοῖς,
Βάλλεο γὰρ λίθοισι, φόνου δ' ἀλέεινας ἀνάγκην
Λύστρα πόλις κακοεργὲ, Θεὸν χθὲς Παῦλον ἐστέφθης.
Καὶ νῦν πετροβολεῦσα κατακτανεῖν μενεαίνεις.

ΕΙΣ ΤΗΝ ΑΠΟ ΤΗΣ ΔΟΥΛΗΣ ΕΞΕΛΑΣΙΝ ΤΟΥ ΠΥΘΩΝΙΚΟΥ πνεύματος, καὶ τὴν τῶν δεσποτῶν αὐτῆς κατὰ παύλου μανίαν, καὶ τὰς πληγάς.

Τὸ πνεῦμα τοῦ Πύθωνος ὡς πύθοιτό σου, Ἐλθόντος ἐγγὺς, Παῦλε, φεύγει μακρόθεν
Ἢ πῶς ἰδεῖν ἔστερξε τὴν φωτὸς θέαν, Τὸ τοῦ σκότους πρόσωπον, ἡ νυκτὸς θέα;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πνεῦμα Πύθωνος ἔωσας ὑπέρμεγα Παῦλε, κορίσκης
Παιδὸς ἀπ' οἰκέτιδος, μῆνιν δέ τε δεσποσύνοισι
Τηλόθεν οὐκ ἀπέωσας, ἣ ἀμφὶ σὲ δύσνοα δρῶσα
Σῶμα ὑπὸ πληγῇσιν ἀεικελίῃσι δάμασσαι.

ΕΙΣ ΤΗΝ ΕΝ ΑΡΕΙΩ ΠΑΓΩ ΔΙΑΛΕΞΙΝ ΠΑΥΛΟΥ, ΟΤΕ ΚΑΙ Διονύσιος, καὶ Δάμαρις, καὶ ἄλλοι ἐπίστευσαν.

Ἄρειε πάγε καὶ σὺ τὸν Παῦλον δέχου Ἀνάξιον γὰρ μὴ τὸ τοῦ Χριστοῦ στόμα
Καὶ ταῖς Ἀθήναις ἐκλαλῆσαι τὸν λόγον. Μωροὶ σοφοὶ πείσθητε τῷ σοφωτάτῳ.





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄρεος ἀμφὶ πάγον μαχήσατο Παῦλος Ἀθήναις.
Λάβε Διονύσιον ἐνὶ προμάχοισιν ἐόντα,
Καὶ Δάμαριν ζώγρησε καὶ ἄλλους τρέψατο φῶτας·
Οἷος ἐὼν δὲ φάλαγγα τόσην σχίσε, θαῦμα ἰδέσθαι.

ΕΙΣ ΠΑΥΛΟΝ ΑΧΡΙ ΜΕΣΟΝΥΚΤΙΟΥ ΔΙΔΑΣΚΟΝΤΑ, ΟΤΕ ΚΑΙ τὸν ἀπὸ τοῦ τριστέγου πεσόντα παῖδα, καὶ θανόντα, ἀνέστησεν.

Ἄϋπνε Παῦλε καὶ μέσων νυκτῶν λέγεις, Ὢ ζῆλος, ὢ πῦρ, ὢ πολὺς Θεοῦ πόθος!
Ἰδοὺ δὲ παῖς πέπτωκεν ἐκ τοῦ τριστέγου, Ζώωσον αὐτὸν πρῶτα, καὶ πάλιν λέγε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καρτερὸς ἐσσὶ μέγιστε καὶ ὄλβιε Παῦλε διδάσκων
Νύκτεσιν ἐν μεσάτῃσιν, ἀτὰρ κρατερὸς καὶ ὁ δῆμος
Σὴν διδαχὴν προπάροιθεν ἄγων νυκτός τε, καὶ ὕπνου·
Σειρὴν σοι τάχα Παῦλε κατὰ στόμα Θεῖον ἀείδει.

ΕΙΣ ΤΑ ΥΠΟ ΔΗΜΗΤΡΙΟΥ ΕΠΕΝΕΧΘΕΝΤΑ ΠΑΥΛΩ ΔΕΙΝΑ.

Τίς οὗτος ὁ θρῆς οὐρανοῦ μέχρι φθάνων; Δημήτριος κέκραγεν ὁ σκόλοψ Παύλου.
Τὸν τοῦ Σατὰν φῂς ἄγγελον; τοῦτον λέγω. Ὡς ἐμφράγειη τῷ μιαρῷ τὸ στόμα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χριστὸν μὲν Σατανᾶς πειράζετο, ὢ μέγ' ἀναιδής,
Νῦν δὲ Θεοῦ θεράποντι Σατὰν θεράπων πολεμίζει·
Δέρκεο τὸν Δημήτριον. ἄγγελός ἐστι Βελίου·
Παύλῳ ὑπὸ ζαθέῳ πολλὴν κακότητα τιταίνων.

ΕΙΣ ΤΗΝ ΑΓΑΒΟΥ ΠΡΟΡΡΗΣΙΝ ΠΑΥΛΩ.

Εἴ σοι προεῖπον ἐν Σιὼν τινὲς φόνον, Οὐκ ἂν ἔφευγες τὴν Σιὼν τάχος τάχος;
Ἀλλ' οὐχ' ὁ Παῦλος, ἀλλὰ τί σπεύδει πλέον; Ἐπείγεται γὰρ τοῦ Θεοῦ θανεῖν

ΕΙΣ ΤΟ ΑΥΤΟ. (χάριν.

Ἄγαβε μάντι κακῶν ἀνιάων ἄγγελε, Παύλῳ
Εἰδότι ταῦτα λέγεις; πρὸ γὰρ αὐτὸς ὁ Χριστὸς ἔειπε,
Δεσμά σε ἀμφὶ Σόλυμα μένει καὶ τραύματα Παῦλε,
Ἀλλ' οὐδέν ποθ' ὁ Παῦλος ὑπέτρεσεν οὐδ' ὑποτρέσσει.

ΕΙΣ ΤΑΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΠΛΗΓΑΣ ΠΑΥΛΟΥ, ΟΤΕ καὶ Ῥωμαῖον ἑαυτὸν ἐκάλει.

Ταρσὸς πατρίς σοι Παῦλε, τῆς Κιλικίας,
Καὶ πῶς σὺ σαυτὸν παῖδα τῆς Ῥώμης λέγεις;
Τὸν καιρὸν οὕτως ἐξεώνημαι ξένε, Τῶν ἡμερῶν γὰρ οἶδα τὴν σωτηρίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παῦλε σὲ μὰν ἀδάμαντα Θεὸς πλάσεν, εἴτέ τιν' ἄλλην
Φύσιν Θειοτέρην ἀπαθέα, οὐδέτε σαρκὸς
Ἀμφί σε φόρτον ἔθηκε. κακόσχολοι ἀρχιερῆες
Παίεθ' ὑμεῖς, πονέοιτε ἀπηνέες, οὐδέτε Παῦλος.

ΕΙΣ ΤΟΝ ΕΠΙ ΡΩΜΗΝ ΑΠΟΠΛΟΥΝ ΠΑΥΛΟΥ.

Δέδεξο Ῥώμη Παῦλον, εἰς σὲ γὰρ πλέει, Τὸν κύκλον ἐν σοὶ τερματώσων τοῦ λόγου
Δέδεξο, καὶ δὸς τῶν μακρῶν παῦλαν πόνων. Δώσεις δὲ πάντως τὸν διὰ ξίφους (μόρον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εὐτυχὲς ἐσσὶ τὸ λέμβος ἐπεὶ καλὸν ἔνδοθι φόρτον
Τὸν Παῦλον φορέεις, τὸ Θεοῦ ϛόμα, εὐτυχὲς ἐσσί.
Ἀθλίη ἐσσὶ Σιὼν, ὄλβον τεὸν οὕνεκα Ῥώμη
Πέμπεις, καὶ σὺ πάνησσα πέλεις, πόλις ἀθλίη ἐσσί.

# ΤΟΥ ΑΥΤΟΥ ΟΜΟΙΑ

ΕΙΣ ΤΗΝ ΕΞ ΕΠΑΓΓΕΛΙΑΣ ΓΕΝΝΗΣΙΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Ἐπαγγελίας Ἰσαὰκ πάλαι τέκνον, Μελιῤῥύτων κλήραρχος ἀπείρων τόπων
Ἐπαγγελίας Γρηγόριος νῦν τέκνον, Μελιῤῥύτων κλήραρχος ἀπείρων λόγων

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἡ τριὰς αὖτις ἔειπε ποιήσωμεν βροτὸν ἄνδρα,
Ἡμετέρην κατὰ εἰκόν' ὁμοιωσίν τε Θεουδῆ.
Καὶ ῥ' εἰποῦσα ποίησε Γρηγορίου μόνος υἱοῦ,
Ἄνδρα Θεοῦ μεγάλοιο κατ' εἰκόνα, γῆν προμολοῦντα.

ΕΙΣ ΤΗΝ ΕΚ ΒΡΕΦΟΥΣ ΘΕΩ ΚΑΘΙΕΡΩΣΙΝ ΓΡΗΓΟΡΙΟΥ.

Θεός σε Γρηγόριε πῦρ πνέον ϛόμα, Ὡς τὸν Σαμουὴλ, καὶ διδοῖ καὶ λαμβάνει.

Ὁμοῦ



Ὁμοῦ γὰρ ἐξωλίσθης ἐς φῶς ἡμέρας, Καὶ τῷ νοητῷ προσκομίζῃ Φωσφόρῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γρηγόριον μερόπεσσιν ὁμοῦ Θεὸς ὤπασε δῶρον,
Καίθ' ἅμα ἐκ μερόπων ἀνελάζετο, ἢ τάχα μίμνειν
Γρηγορίου ἀπάτερθ' οὐδ' ὑψιμέδων θέλει ἄναξ.
Τοὔνεκά μιν δόμενος φορέει πάλιν αὐτὸς ἀπ' οὖρας.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΕΚ ΠΑΣΗΣ ΧΩΡΑΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΣΥΛΛΕΓΟΝΤΑ.

Καὶ τίς δέ σου πέφευγε τὴν πτῆσιν πόλις Μέλι ταμούσης; κηροπλασεῖς γὰρ λόγους
Πτὰς εἰς Ἀλεξάνδρειαν εἰς Παλαιϛίνην. Εἰς τὰς Ἀθήνας, εἰς τὸ Βύζαντος (πεδον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γραμματικήν τ' ἴδε μέτρα πολύτροπα. θεσμά τε ῥήτρης
Θευλογίην, φυσικήν τε, μαθηματικήν τε σοφίην,
Πάντα λόγοιο γάνεθλα μετ' ἠελίοις τριάκοντα
Γρηγόριος δεδάηκε, φορεύμενος ἔνθα καὶ ἔνθα.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ, ΟΠΩΣ ΘΝΗΣΚΩΝ ΤΗ ΑΓΙΑ προσριφεὶς τραπέζῃ, εὐθὺς ἀνέϛη.

Τῆς σῆς ἁγνὴ τράπεζα φρικτῆς ἰσχύος! Νόννης ὁ παῖς ἔκειτο λοίσθια πνέων.
Καὶ προσριφείς σοι, γρήγορον πάλιν βλέπει, Καὶ κύκλα μετρεῖ. θαῦμα, δευ- (τέρου βίου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νόννα τί ῥα βλεφάρων θαλερὸν διὰ δάκρυον εἴβεις,
Οὕνεκα Γρηγορίου φίλον δέμας ἔκλυσε νοῦσος;
Ἱερὰν ἀμφὶ τράπεζαν ἱρὸν προτικάτθεο παῖδα,
Καὶ τάχ' ἂν ἐξ Ἀΐδαο μεθίζεται ἠελιόνδε.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΟΝΑΡ ΤΗ ΠΑΡΘΕΝΙΑ ΩΣ ΓΥΝΑΙΚΙ ΟΜΙΛΟΥΝΤΑ.

Ὡς εὐγέ σοι γένοιτο νὺξ γαμοϛόλε, Τῷ γὰρ καθαρῷ νυμφίῳ Γρηγορίῳ
Τὴν παρθενίαν καθαρὰν νύμφην δίδως, Καὶ τίς δέ σοι μέμψαιτο τῶν νυμφευ- (μάτων;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γρηγόριε προτιόσσεο ἐμὸν πολυήρατον εἶδος,
Ἥν με λάβησθα βίοιο συνέμπορον, αἰθέρα δ' ἔλθῃς.
Τίς δὲ σὺ παρθενίη; περὶ χείλεσι χείλεα βάψον,
Σὸν λέχος ἀμφιέποιμι, γάμος δ' ἀπὸ τῆλε μολείτω.

ΕΙΣ

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΝΑΥΑΓΟΥΝΤΑ ΚΑΤΑ ΠΑΡΘΕΝΙΟΥ πελάγυς, εἶτα δι' εὐχῆς σωζόμενον, καὶ ταῦτα πρὸ τοῦ βαπτίσματος.

Τὸ παρθενικὸν κῦμα παρθένε πλέων, Συνεμπεσέσης ἀγρίας τρικυμίας
Εὐχῇ σεαυτὸν τές τε ναυλόχες ῥύῃ, Καὶ ταῦτα μήπω τὴν κολυμβήθραν Φθάσας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθενικὸν διὰ βένθος ἔπλεις ποτὲ Φαίδιμε ἀνερ,
Κῦμα δέ τοι πολύαφρον ὁμόκλεε νῆα βυθίζειν,
Οὐδ' ἔμπης τόδ' ἔτρεσας, ἑὰς δ' ἀνὰ χεῖρας ἀείρας,
Χριςὸν ἄνακτα κάλεσας, ὁδ' ἄρπασεν ἔκτε βυθοῖο.

ΕΙΣ ΤΗΝ ΣΥΖΥΓΙΑΝ ΓΡΗΓΟΡΙΟΥ ΚΑΙ ΒΑΣΙΛΕΙΟΥ.

Καππαδόκαιον ζεῦγος, ὡς ἐκ πατρίδος, Ἕλληνες, αὖ τὸ ζεῦγος, ὡς ἐκ βιβλίων.
Σύζωον, ἰσόψυχον, ἰσόπνεν ὅλον, Τὰ Γρηγορίε ϗ Βασιλείε λέγω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴ τις ϗ τρίτος ἦεν ὁμοφροσύνης ὑπὸ δεσμῷ
Δοιοῖς σύν ῥ' ἑτέροις Βασιλείῳ Γρηγορίῳ τε,
Συμπνοέων βιότῳ τε ϗ ἤθεσι πᾶσιν ὁμοῖος,
Δὴ τότε ϗ τετράτην τριάδ' εἴχομεν ἀμφὶ νόοισιν.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΠΡΟΒΑΛΛΟΜΕΝΟΝ ΥΠΟ ΒΑ-σιλείε Ἐπίσκοπον εἰς Σάσιμα.

Τί ταῦτα Βασίλειε πάνσεμνον κάρα, Τὸν Γρηγόριον ἐν Σασίμοις τὸν μέγαν
Πιθηκιαίῳ ϗ ςενῷ χωρυδρίῳ; Οὐ τῦτο τῆς σῆς ἄξιον φρενὸς κρίνω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καππαδόκαι ϗ Πόντε λόγιοί τε εὖχος Ἀθῆναι
Ἴςε τόδ' ὡς Βασίλειος ἐφήμενος ἀμφὶ θοώκῳ
Καισαρέων. Σασίμοισιν ἀσημοτάτῃ ἐνὶ χώρῃ
Γρηγόριον θώκευσε τὸν ἥλικον ἀρχιερῆα.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΕΠΟΠΟΙΟΥΝΤΑ, ΔΙΑ ΤΟ ΚΩΛΥΣΑΙ ΙΟΥ-λιανὸν χριςιανοὺς, ἀναγινώσκειν τὰ Ὁμήρου.

Ἰελιανὲ τί ςενοῖς μοι τὲς λόγες; Καὶ τῆς Ὁμήρε τί φθονεῖς Καλλιόπης;
Ἔχω τὸ λαμπρὸν τε Γρηγορίε ςόμα, Ὅλας ςιχεργεῖν εὐγενεῖς Ἰλιάδας.

ΕΙΣ



ΕΙΣ ΤΟ ΑΥΤΟ

Τίπτε τὸ μῆνιν ἄειδε θεὰ. περικεύθεαι; ἄναξ,
Ἔςι τὸ. Χριςὲ ἄναξ πολὺ λώϊον, ὅσσα ϗ αὐτὸς
Χριςὸς ἔοι θεάων μέγα φέρτατος ἐλομενάων.
Γρηγόριον λαλέειμι, ὅλες δὲ σὺ κεῦθε Ὁμήρες.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΑΥΤΟΧΕΙΡΩΣ ΤΟΙΣ ΑΡΡΩΣΤΟΙΣ ΔΟΥΛΕΥΟΝΤΑ

Ναὶ χεὶρ καθαρὰ τὲς ὀδωδότας ῥύπες, Καὶ τὲς ἰχῶρας τῶν νοσαζόντων πλύνε
Εἰς γὰρ Θεε μίμνησιν ἐντεῦθεν φθάνεις, Τε τῆς ἐμῆς φθάσαντος ἀρχισα πρίας

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἵ ῥα Θεηγορίην γράψαν χέρες, αἱ θυέεσσι
Παμμεδέοντ θ' ἱλάοντο, ϗ ἐς πόλον ἀμπετάνυντο
Ἕλκεα νῦν μερόπων νοσεόντων ἀμφιπένονται.
Γρηγόρι' ὡς ϗ ἐμεῖο δυσαλθέας ἵκεο νόσες.

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΕΡΧΟΜΕΝΟΝ ΕΙΣ ΤΟ ΒΥΖΑΝ-τιον ἐπὶ ἀνατροπῇ τῶν αἱρέσεων.

Βυζαντιὰς, δέδεξο τὸν Νόννης τόκον, Θυμε πυρὰ πνέοντα ϗ ζήλε φλόγας
Ἥκει γὰρ εἰς σὲ πίςεως ςήσων ὅρες, Καὶ τὰς μιαρὰς αἱρέσεις διασπάσων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄμπνυτε ὀρθότομοι τριάδος πρόμοι ἀρχεσιφῶτε.
Γρηγορίοιο βίη γὰρ ὑπέρθυμος, Αὔσονα Ῥώμην
Θεύει. σύν ῥ' ὑμέεσσι Θεοῖο ἔην τι παλαῖσαι.
Καὶ τίς ἄρ' ἀντιβιάων ἀεθλάτορος ἄλκαρ ἐνέγκῃ;

ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΛΙΘΑΖΟΜΕΝΟΝ ΥΠΟ ΑΙ-ρετικῶν, καὶ φεύγοντα τὰς βολάς.

Ἐλιθόλευσε τὸν λόγον πρὶν ὁ πλάνος Νῦν λιθολεύει τὸν πρόμαχον τε λόγε.
Ἀλλ' ὡς πέφευγας ἐκ μέσων σὺ τῶν λίθων, Οὕτω πέφευγε ϗ πρόμαχος σὸς λόγε

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χριςομάχοι παλάμαι τίπτ' ἄρ' ἔρδετε, Γρηγορίοιο
Κακκεφαλῆς φορέεσαι ἀπείρονα πέτρον ὕπερθεν;
Ὄμνυμι αἰθέρ' ἄνω, ϗ ἀχανέα νέρθεν ἄβυσσον.
Εὖεχος ἔτις ἔοι κατὰ Γρηγορίοιο λιθασής.

ΕΙΣ

### ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ ΕΞΕΡΧΟΜΕΝΟΝ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Σκιρτᾶτε καθάλλεσθε τῆς ποίμνης λύκοι, Μακρὰν ὁ ποιμὴν, ἡ καλὴ λυκαγχόνη,
Πλὴν σφανδονᾶν δύναιτο κἀκ τῶν μακρόθεν. Βυζαντιὰς, κλαίω σε τῆς ἀκο-
(σμίας

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε τριὰς βασίλεια τόσην σοφίην ὀνέχευες
Χείλεσι Γρηγορίοιο, Θεηγορίην τε, χάριν τε,
Ὥς' ἀνὰ βασκανίης ἀτειρέα λαμπάδα καῦσαι,
Ἤ μιν ἔμελλε πόληος ἀπόπροθι θέσθαι ἀνάσσης.

### ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΓΡΗΓΟΡΙΟΥ.

Ποίῳ σὲ Γρηγόριε συντάξω μέρει; Τῷ τῶν βιούντων; ἀλλ' ὁ τύμβος ἐγγύθι,
Τῷ τῶν θανόντων; ἀλλὰ ταῖς βίβλοις πνέεις, Ἢ τῷ Θεῷ ζῇς, τῷ βροτῶν θα-
(νῶν νόμῳ;

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἰθὴρ ὄμνυσ' ὕπερθε, κάτω δ' ἐπιόμνυσι γαῖα,
Μὴ τοῖον σοφίηφιν ὑπείροχον ἄλλον ἰδέσθαι.
Οἷος Γρηγορίοιο νόος πέλε Γρηγοριάδου,
Ῥώμης κυδροτέρης μέγ' ἀμύμονος ἀρχιερῆος.

## ΤΟΥ ΑΥΤΟΥ ΟΜΟΙΑ

### ΕΙΣ ΤΑ ΚΕΦΑΛΑΙΩΔΩΣ ΡΗΘΕΝΤΑ ΕΝ ΤΩ βίῳ τοῦ μεγάλου Βασιλείου.

Αὐχεῖ μὲν Ἑλλὰς μυρίους τοὺς ἐκγόνους, Αὐχεῖ δὲ Πόντος τὸν Βασίλειον μόνον
Καὶ καταποντεῖν τῷ καλῷ τὴν Ἑλλάδα, Εἷς γὰρ καθ' Ἡράκλειτον ἐστὶ μυρίοι.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὕδρη πολλυκάρηνʼ ἀδινάων αἱρεσιάων,
Τμηξιθέων τε γένεθλα κακορράφα φεύγετε πάντα.
Ἐμμελίη γὰρ ἔκυε πρὸτ' ἠελίου βρέφος, αὐγὰς
Σπαργανόθεν τριάδος λαμπρὸν ὑποφήτορ' ἀνάσσης.

### ΕΙΣ ΤΗΝ ΑΥΤΟΜΑΤΗΝ ΑΓΡΑΝ ΤΩΝ ΕΛΑΦΩΝ, ΗΝ ΟΙ Βασιλείου πρόγονοι ἐν τῷ διωγμῷ ἤγρευσαν.

Κυνηγετοῦσιν οἱ χαμαὶ κυνηγέται, Κραυγαῖς, ὑλακαῖς, πλεκτάναις, δόλοις, λόχοις.

Κυνη-



Κυνηγετοῦσιν οἱ Θεοῦ κυνηγέται, Εὐχαῖς, προσευχαῖς, πίστι' ἐκ Βασιλείου.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀνέρες εὐσεβέες τυραννίδος ἐκπροφυγόντες.
Οὔρεσιν ἀμφί ῥ' ἔμιμνον, ἀτὰρ σφέας ἄλγυνε πεῖνα,
Καί τε χέρας τανύσαντο κατ' αἰθέρα, ἐκ δ' ἅμα βήσσης
Ὦρτ' ἐλάφων ἀγέλη, σχέδιόντ' ἐνικάππεσε δεῖπνον.

### ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΠΑΡΑ ΤΟΥ ΠΑΤΡΟΣ ΑΥ-τοῦ Βασιλείου διδασκόμενον.

Καὶ τίς δὲ Βασίλειε τοῦ φύντος πλέον, Καθηγεμὼν σοι καὶ διδάσκαλος πρέπει;
Ὅθεν παρ' αὐτῷ τὸν λόγον καὶ τὸν βίον Ὡς ἀρχετύπῳ γνησίως συναυξάνου.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κοινὸς ἔης Πόντοιο διδάσκαλος ὦ Βασίλειε,
Ἐμμελίης λεχέων ἐπιβήμενε οὐδ' ἄρα τόσσον
Μύστην ἄλλον ἔχεσκες, ὅσος τεὸς ἔπλετο παῖς,
Ἐνθαλέθων βιότητι, λόγοισί τε, θαῦμα, νεάζων,

### ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΠΟΛΛΑΧΟΘΕΝ ΣΥΝΑΓΟΝΤΑ ΤΑ ΜΑΘΗΜΑΤΑ.

Πόντος σε Βασίλειε γεννᾷ καὶ φύει. Λογοις δὲ Καισάρεια παντοίοις τρέφει,
Μεθ' ἧς Ἀθῆναι, καὶ τὸ Βύζαντος πέδον, Τίς οὖν σε τούτων ἀγκαλίσαιτο πλέον;

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐκ ἄρα καλλιτόκεια κενὰς ἀναήραο χεῖρας
Ἐμμελίη προτὶ ὕψος, ἐπεὶ σέο ἔκλυεν αὐδῆς
Ὑψιμέδων, σοφίης δ' ἐριφράδμονα πόρσυνεν υἷιν.
Πόντου, Καισαρέων τ' Ἀθηνῶν τ' ἐκγεγαυίας.

### ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΤΡΟΝ ΑΘΗΝΗΣΙ ΠΑΙΓΝΙΟΝ.

Ναὶ ναὶ τὸ λουτρὸν τοῖς Ἀθήνησι ξένοις
Ὡς πλῆκτρον, ὡς φόβητρον, ὡς καινὴ θέα.
Ἀλλ' ἄχρι ταῦτα τοῦ σοφοῦ Βασιλείου Μόνου φυγόντος τοὺς νεηλύδων νόμους.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεῦποι ἄρ λουτροῖο θυρῶν ἀπὸ ῥησσομενάων.
Παίγνιά τ' Ἀθήνησι φόβητρά τε ἀφρονεόντων.
Ἀμφ' ἑτέροις παίζεσθε νέηλυσιν, οὐ Βασιλείῳ.

Οἷος

SISMANOGLIO MEGARO

Οἷος ὁ γὰρ προφύγεσκε τὰ παίγνια κρέσσονι μοίρῃ

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΜΕΘ' ΑΡΜΕΝΙΩΝ ΕΝ ΑΘΗΝΑΙΣ ΔΙΑΛΕΓΟΜΕΝΟΝ.

Σοφισομανεῖς Ἀρμόνιε, πλὴν μάτην.
Καὶ κομψολεσχεῖς, πλὴν κενῶς χέεις ψόφους.
Καὶ τίς γὰρ εἶ σὺ συλλογισμῷ καὶ λόγῳ Πρὸς Γρηγορίου καὶ Βασιλείου σόμα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀρμένιοι Βασίλειον ἔροντό ποτ' οὐ κατὰ κόσμον,
Τῷ δ' ἐπὶ Γρηγορίοιο συνήντετο φαίδιμον ἄλκαρ.
Καὶ τότ' ἄρ' Ἀθήνῃσι φαάντερον ἐξεφαάνθη,
Ὁππόσα Καππαδόκης προφερέσερος Ἀρμενίοιο.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΙΩΜΕΝΟΝ ΤΟΝ ΕΝ ΚΑΠΠΑΔΟΚΙΑ λιμὸν, παραθέσει ἔτνους καὶ ὄψων ταρίχων.

Καππαδόκης τὸ πάσχον, ἡ νόσος λιμός. Ἰατρὸς, ἡ χεὶρ τοῦ σοφοῦ Βασιλείου,
Τὸ φάρμακον, λέβητες ἑφθῶν κυάμων, Ὑπηρετοῦντος θαῦμα τοῦ δεδωκότος

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄγξε σὲ Καππαδόκη πείνης βρόχος. ἀμφὶ δὲ χεῖλος
Βάψε λυγροῦ θανάτοιο. χέρες δ' ἁγναὶ Βασιλείου
Ἅρπασαν ἔκ σ' Ἀΐδαο λεβητοπόνοι γεγαυῖαι,
Ἔτνεος ἑψομένου τ', ὄψων ταρίχων τε δότειραι.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΑΡΧΙΕΡΑΤΕΥΟΝΤΑ ΚΑΙΣΑΡΕΙΑΣ.

Ἐκεῖνο τοῦτο νῦν ἄνω φῶς λυχνίας, Ἐκεῖνο τοῦτο νῦν ὄρους ἄνω πόλις.
Καισαρέων γὰρ ἐγκαθίδρεται θρόνῳ, Τὸ πίσεως φῶς. ἡ Θεόδμητος πόλις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καισαρέων πτολίεθρον ὑπέρθυμα γήθεο σύμπαν,
Γήθεο καὶ θρόνος, ἐνδ' ἱερῆες κύμβαλα χερσὶν
Ἀράμενοι κροτέοιτε, νεὼς δ' ἐπιβόμβεε σεμνός,
Οὕνεχ' ὑμῖν Βασίλειον ἔδω Θεὸς ἀρχιερῆα.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΕΠΑΡΧΩ ΜΟΔΕΣΤΩ ΔΙΑΛΕΓΟΜΕΝΟΝ.

Ἔπαρχος εἶ Μοδέσε τοῖς ἄλλοις ὅλοις, Μόνῳ δ' ὕπαρχος τῷ σοφῷ Βασιλείῳ.
Ἀρχῇ γὰρ αὐτῷ, καίπερ ἐξάρχειν θέλων,
Μυρμηκιᾷς δὲ, καίπερ ὡς λέων βρύχων.





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σύνθεό μοι Βασίλειε, σύ μοι πλέον, οὐχὶ δὲ ταρβεῖς.
Μή τι πάθω δήμευσιν ὁ μηδὲν ἔχων ἀνὰ γαίην
Ἐξορίην ὁ πρόπαντος ἐὼν ξεῖνος δαπέδοιο.
Τραύμαθ', ἃ σαρκὸς ἄτερθεν ἀπείλεε πάντα Μοδέσε.

ΕΙΣ ΜΟΔΕΣΤΟΝ ΠΡΟΣΕΡΧΟΜΕΝΟΝ, ΚΑΙ ΔΕΟΜΕΝΟΝ ἰάσασθαι αὐτοῦ τὴν νόσον, καὶ ἰώμενον.

Οὐχ οὗτος ὁ χθὲς ἰταμὸν βρύχων λέων, Καὶ πᾶν ἀπειλῶν τὴν μέγαν δεινὸν δράσειν;
Νῦν ἱκετεύει, ποτνιᾶται, δακρύει, Ζητεῖ νόσου λύτρωσιν, ἣν καὶ λαμβάνει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴ τις ἔγεντο νόσοισιν ἀρειοτέρη πόθ' ὑγείας,
Ἥδε νόσος τελέθει, τήνπερ νοσέεσκε Μοδέσος,
Οὕνεκά μιν πείθεσκεν ἀγαφροσύνης ὑπὸ θεσμοῖς
Τισέμεναι Βασίλειον, ὃν ἀμφ' ὑγείαν ἄτισσεν.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ ΑΝΑΨΗΛΑΦΩΜΕΝΟΝ ΤΗΝ ΟΙΚΙΑΝ ὑπὸ τοῦ ὑπάρχου, ἐπὶ τὸ εὑρεθῆναι ἐν ταύτῃ γυναῖκα.

Τῆς ὕβρεως ὕπαρχε, καὶ τῆς αἰσχύνης! Γυναῖκας αἰτεῖς ἐν Βασιλείου δόμοις.
Γυναῖκας αἰτεῖς ἐν μελάθροις ἀγγέλου, Καὶ τοὺς κεραυνοὺς τοὺς ἀφ' ὕψους οὐ τρέμεις;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ναὶ ναὶ φῦλα πρόπαντα πολυσπερέων ἀνθρώπων.
Ὡς ὅπλοις τε πέτροις τε γύναιά τε ἰσοπονεῦντα.
Κερκίσιν ἠὔθ' ὅπλοισι τὸ ἀσεβὲς εὐσεβίοιο
Παῖεν ἐμοὶ κάρηνον, ὃ γὰρ Βασίλειον ἄτισσεν.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ, ΟΠΩΣ ΤΟΝ ΑΠΙΣΤΟΥΝΤΑ ΕΒΡΑΙΟΝ, σάρκα καὶ αἷμα εἶναι τὸν παρ' ἡμῖν ἱερουργούμενον ἄρτον καὶ οἶνον ἔπεισεν.

Ὁ σκιαλατρῶν μὴ τυπικὴν προσδόκα, Καὶ τὴν καθ' ἡμᾶς θυσίαν. ἄρτον βλέπεις,
Ἀλλ' ἀμνὸς ἐσὶν εὐαγής. οἶνον βλέπεις, Ἀλλ' αἷμα θερμόν ἐσι, βλέψον ἐγγίσας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χρισιανῶν ποτε παῖζε θυηπολίην Ἕβερ υἱός
Ἄρτον τ' εἰσορόων, καὶ αἴθοπα κανῷ ἐπ' οἶνον.



SISMANOGLIO MEGARO

Τόν δ᾽ ὡς οὖν ἐνόησε Βασιλείου κέαρ ἁγνόν,
Πόρσυνέν οἱ φαγέειν, τάδ᾽ ἐπὶ κρέας αἷμα τ᾽ ἀμείφθη.

ΕΙΣ ΤΟΝ ΦΟΡΟΛΟΓΟΝ ΤΟΝ ΑΞΙΩΘΕΝΤΑ ΥΠΟ ΤΟΥ ΒΑσιλείου ἀνεῖναι φόρους πτωχῇ γυναικί, καὶ μὴ πεισθέντα, εἶτα εἰς τὸν χωρὸν τὸν δεομένων ἐλθόντα κατὰ τὴν μεγάλην πρόῤῥησιν.

Φεῦ σοι δυνάστα, τῆς ἀναιδείας ὅση, Βασιλείου λέγοντος ἀνεῖναι φόρον
Πτωχῷ γυναίῳ, φῂς θέλων οὐκ ἰσχύειν. Ἔλθῃς θελήσας εἰς τὸ μὴ κατισχύειν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ μέγα τολμήεν Βασιλείου λισσομένοιο
Οὐκ ἀλέγεις Βασίλειον, ἀτὰρ σύ γε οὐ μετὰ δηρόν
Ἥξεαι ὥσθ᾽ ἱκέτης θαλερὸν κατὰ δάκρυον εἴβων,
Οὐδ᾽ ὅγε σῇσι λιτῇσι παρήκοον οὖας ὑπόσχῃ.

ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ ΑΜΕΙΨΑΜΕΝΟΝ ΤΗΝ ΔΙ ΑΡΤΟΥ ΔΩΡΕΑΝ Βασιλείου, χόρτῳ, καὶ ὅπως ἀπεκτάνθη ὑπὸ Μερκουρίου.

Φεῦ σοι Βασιλεῦ τοῦ σκότους τῆς καρδίας, Τὸν τοὺς λόγους πνέοντα τὸν Καισαρέα.
Ἄρτοις σε τιμήσαντα φιλίας νόμῳ Χόρτοις ἀμείβῃ, θανατῶντος τὸ δρᾶμα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὕνεκ᾽ Ἰουλιανὲ ζαθέην κεφαλὴν Βασιλείου
Ἄτισας, οὐδ᾽ ὁμόκλησας ὑπόστροφος ἔκ μιν ὀλέσσαι
Καδδὲ νεὼν βαλέειν ποτὶ οὖδεϊ, τοὔνεκα σεῖο
Ἦτορ ἀπ᾽ ἐκμελέων Μερκούριος ἱππότα χεύσει.

ΕΙΣ ΤΟΝ ΔΙ ΕΡΩΤΑ ΓΥΝΑΙΚΟΣ ΑΡΝΗΣΑΜΕΝΟΝ ΤΟΝ ΧΡΙστὸν ἐγγράφως, ὑπὸ δὲ Βασιλείου τυχόντα τῆς ἀφέσεως.

Ἔρως δυνάστα, κακὸν ἀνθρώποις μέγα, Ἢ μηδαμῆ μοι μηδαμῶς προσεγγίσῃς
Ἢ μὴ τοσοῦτον ὥστε Χριστοῦ δεσπότου Τὸν ἀντίχριστον ἀνθελέσθαι δεσπότην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μή σύ γε ὦ τρισάποτμε ἀνήνεο ἴχνια Θεοῖο,
Συνθέμενος Βελίῃ, τάχα φρήν τοι ὤλετ᾽ ἔρωτι.
Θάρσεε, ἐλπὶς ἔοι, Βασιλείῳ πρόσμολε ἁγνῷ,
Καί ῥ᾽ ὅ τὸ γράμμα λάβῃσι Σατὰν ἀπὸ χειρὸς ἀείρας.





ΕΙΣ ΤΟΝ ΒΑΣΙΛΕΙΟΝ ΙΩΜΕΝΟΝ ΤΟΝ ΠΑΡΑΛΥΤΟΝ, ὃν ὁ πρεσβύτερος Ἀναστάσιος ἐνοσοκόμει.

Κρύπτεις Ἀναστάσιε τῷ Βασιλείῳ, Τὸν ὃν σὺ παράλυτον αὐτόχειρ τρέφεις.
Μὴ κρύπτε, δεῖξον, ὡς ἰατρείας τύχῃ Οὐχ ἧς Γαληνὸς, ἧς δὲ Χριστὸς τεχνίτης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νοῦσε μέγ᾽ ἀργαλέῃ λυσιμελὲς ἐκπρομολεύοις,
Ἄψεα τοῦδ᾽ ἀνέρος πολυτειρέα πάντα λιποῦσα,
Φύγγαν᾽, ὁ γὰρ Βασίλειος ἐνὶ προθύροισι βεβαὼς
Ἕστα θ᾽ ὥς σ᾽ ἀπάτερθε βάλῃ πολυπήμονος ἀνδρός.

ΕΙΣ ΤΟΝ ΣΥΡΟΝ ΕΦΡΑΙΜ ΥΠΟ ΒΑΣΙΛΕΙΟΥ ΠΑΡΑΧΡΗΜΑ Ἑλληνίσαντα, καὶ τὸ βάρβαρον τῆς γλώττης ἀμείψαντα.

Μέμφῃ Σύρων ἄριστε τὸν Καππαδόκην Χρυσοστολοῦντα καὶ κεκαλλωπισμένον,
Αὐτὸς δ᾽ ὅμως τὴν μέμψιν οὐ μέμψαιτό σου, Πείσει δὲ μᾶλλον ὀρθολεκτεῖν τὸ στόμα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ χαρίεσσα βοὰ Σύραν καλέοντί σε πάντες
Ἦχαν βαρβαρικὰν, Ἑλλανίδι δ᾽ οὕτος ἔισκω,
Ἣ ῥαθυμοῖσα κέλευσε μετειδέμεν, ἃ Βασιλείῳ
Ἔνθαδ᾽ ἀπειρεσίως τοίως ἀεθλεύσασ᾽ ἄεθλα.

ΕΙΣ ΒΑΣΙΛΕΙΟΝ, ΟΠΩΣ ΤΟΝ ΣΦΥΓΜΙΚΟΝ ΕΒΡΑΙΟΝ λέγοντα ἀποθανεῖν αὐτὸν, αὐτὸς εἰπὼν, ὡς ζήσομεν, καὶ ζήσας ἐβάπτισεν.

Ὁ σφυγμικὸς σὺ καὶ φρονῶν τοῦτο μέγα Τί Βασιλείῳ σφυγμοκρατήσεις; λέγεις,
Ὡς θνήξεται νῦν, ἀλλὰ μὴν καὶ ζήσεται, Καὶ παγγονῇ δὲ βαπτίσας οὕτως θάνῃ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σφυγμολόγος πόθ᾽ Ἑβραῖος χεῖρα χεροῖν Βασιλείου
Βαλλόμενος, θανέειν μιν ἔφη, δολόεν δὲ κάρηνον.
Αὐτὰρ ὁ μὴ θανέειν μετέφη, καὶ ὄρχι᾽ ἔταμνον.
Νίκησε δ᾽ ὁ νοσῶν, σωθεὶς δ᾽ ἐσάωσ᾽ ἰατῆρα.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΒΑΣΙΛΕΙΟΥ.

Ἔζησας ὡς ἄσαρκος ἀγγέλου βίον, Τέθνηκας ὡς ἔνσαρκος ἀνθρώπου μόρον.
Ἢ πῶς ἂν ὤφθης τῆς κάτω ζύμης μέρος, Εἰ μὴ δὲ κἂν τέθνηκας ὦ Καππαδόκη.



SISMANOGLIO MEGARO

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποῦ θ᾽ ὁ δοῦπος ἔραθεν ἐπ᾽ ἠέρα ἔρχεται εὐρύν.
Τόν δε νέκυν Βασίλειον ὁμιλαδὸν ἄλλοθεν ἄλλοι
Καισαρέες σονάχουσιν. ὁ δ᾽ οὐ βιόων ποθέεσκε
Βήμαι᾽ ἔβη, τριάδος δὲ Φαάντατα δέρκεται αὐγήν.

# ΤΟΥ ΑΥΤΟΥ ΟΜΟΙΑ

ΕΙΣ ΤΑ ΚΕΦΑΛΑΙΩΔΩΣ ΡΗΘΕΝΤΑ ΕΝ ΤΩ ΒΙΩ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Ως καινὸς οὗτος τῆς μεταλλείας τρόπος, Ἀνθοῦσα γῆ πέφυκεν ὧδε χρυσίτης,
Ἐξ ἧς Σεκοῦνδος ὡς μεταλλεὺς τεχνίτης Ἰωάννην ἤνεγκε τὸ χρυσοῦν στόμα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνθουσ᾽ ἦ ῥα Θεός σε προφίλατο, ἤ ῥά σε λοιπῶν
Θηλυτέρων καθύπερθεν ἐθήκατο, ναὶ γὰρ ἀπ᾽ ἄλλων
Οἵη ἄσαρκον ἔκυες ἐνὶ χθονὶ ἄγγελον ἦα.
Ὑψιβόαν μετανοίας κήρυκα, καὶ Ἰωάννην.

ΕΙΣ ΧΡΥΣΟΣΤΟΜΟΝ ΥΠΟ ΛΙΒΑΝΙΟΥ ΚΑΙ ΑΝΔΡΑΓΑ-
θίου φιλοσοφίαν καὶ ῥητορικὴν διδασκόμενον.

Ω τῶν στροφάλων, οὕσπερ ἐκ Λιβανίου, Ω τῶν ἰΰγγων, ἃς ἀπ᾽ Ἀνδραγαθίου
Χρυσόστομε σχὼν εἷλξας ἅπαν ὠτίον Πειθοῦς ἀνάγκαις καὶ βίαις ἀπροσμάχοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴτις ἐν ἀνθρώποισι διδάσκαλον ἄνδρα μυητής
Πάρδραμεν ἀμφὶ λόγοις, ὅ δ᾽ Ἰωάννης πέλε χρυσοῦς,
Ῥητροσύνῃ Λιβάνιον ὑπερφερέως παρελίσσας,
Φιλοσόφοις δὲ χάρισσι μέγα κράτος Ἀνθραγαθίου.

ΕΙΣ ΑΝΘΕΜΙΟΝ ΥΒΡΙΣΑΝΤΑ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ.
καὶ δαίμονι κατασχεθέντα, καὶ ἰαθέντα ὑπ᾽ αὐτοῦ.

Ναὶ ναὶ τὸν Ἀνθέμιον ἄγχε καὶ πνίγε Ω πικρὲ τελχὶν, καὶ τάραττε, καὶ στρέφε.
Ἴσως τὸν ἀφρὸν τοῦ πάθους ἀποπτύων,
Τὸν δεινὸν ἀφρὸν τῆς πλάνης συνεκπτύσει.

ΕΙΣ



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χρυσολόγον πόθ᾽ ὕπαρχος Ἀθηναίων μέγα τίσε,
Βάσκανε δ᾽ Ἀνθέμιος, καὶ ἀμφαδὸν ὕβριν ἔχευε.
Αὐτὰρ ὅ οἱ κλονέων μεταέγρετο αὐτίκα δαίμων.
Σῶσε δέ μιν ὁ μάκαρ. ὁ δὲ Χριστὸν ἔγνω σαωθείς.

ΕΙΣ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ, ΔΙΑ ΤΟ ΜΗ ΥΠΝΟΥΝ, ΣΧΟΙΝΙΩ
τὴν ὑπήνην διεζωσμένον, καὶ ἀγρυπνεῖν ἀναγκαζόμενον.

Ο χρυσόγλωττος σαρκικὸν φορῶν πάχος Ὅλοις τεχνᾶται τὴν ἀσαρκίαν τρόποις,
Σχοίνῳ γὰρ αὐτοῦ τὴν ὑπήνην ζωννύων, Ἄγρυπνος ὑμνεῖ τὸν Θεὸν σὺν ἀγγέλοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὕπνος χρυσολόγοιο βιάσκετο ὄμμα φαεινόν.
Ὡς νῦν ἐν δὲ κλίνηφι μετηματίους μελεδῶνας
Παυέμεν. ὃ σχοῖνον δὲ κατήορον ὕψοθεν ἅψας
Ζῶσε γένειον ἁγνὸν, τηλοῦ δ᾽ ἀποέργαθεν ὕπνον.

ΕΙΣ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ ΕΞ ΙΩΑΝΝΟΥ ΚΑΙ ΠΕΤΡΟΥ ΤΩΝ
ἀποσόλων, ἐκ μὲν τοῦ, κλεῖς, ἐκ δὲ τοῦ, τόμον, ὄναρ λαμβάνοντα.

Ἰωάννη δέδεξο τὰς κλεῖς, τὸν τόμον Ἐξ Ἰωάννου καὶ Πέτρου τῶν κηρύκων.
Καὶ ταῖς μὲν ἐξάνοιγε τὰς πόλου πύλας, Τῷ δὲ γράφων σόφιζε τὴν οἰκουμένην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κήρυκες ὑψιμέδοντες Ἰωάννης τε Πέτρος τε
Νύκτα δι᾽ ἀμβροσίην ἐπ᾽ Ἰωάννην μόλον ἁγνόν
Καί ῥ᾽ ὁ μὲν οἱ κληΐδας, ὁ δ᾽ ἄρ τόμον ὤπασε θεῖον,
Ὥστε γραφὰς σαφέοι, λύοιτε πόλου πυλεῶνας.

ΕΙΣ ΤΟΝ ΝΟΣΗΣΑΝΤΑ ΤΟ ΗΜΙΚΡΑΝΟΝ ΑΝΤΙΟΧΕΑ, ΚΑΙ
τὸν ὀφθαλμὸν ἐξορυχθέντα, καὶ ὑπὸ Χρυσοστόμου σωθέντα.

Ἡμικρανικὰ τῷ Σύρῳ τὰ τῆς νόσου, Ἐξ ἧς στερεῖται θατέρου τῶν ὀμμάτων,
Κἂν αὖθις αὐτὸν ἀρτιώτατον φέρει Ἐκ τῆς ἐπαφῆς τοῦ σοφοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀντιοχεύς ποτ᾽ ἀνὴρ ἡμικρανίην ἔχε νοῦσον,
Ἥ οἱ ἀπ᾽ ὄμμα βάλε γλυκερὸν μέλος, ἐν δὲ σελάων
Ἠελίου ἀπάμερσε, τόδ᾽ ἥμισυ χεύατο νύκτα.

Χρυ-

Χρυσολόγος δέτε οἱ σῶσεν φάος, ἄψε δὲ λύχνον.

### ΕΙΣ ΤΟΝ ΤΗΝ ΛΕΠΡΑΝ ΙΑΘΕΝΤΑ ΥΠΟ ΙΩΑΝΝΟΥ.

Τὴν λέπραν Ἀρχέλαος ἄνθην ἀθλίαν Ἀνθῶν, ἀπανθεῖ τοῦ προσώπου τὴν χάριν.
Ἀνθηφορεῖ δὲ τὴν καλὴν ἄνθην πάλιν, Τυχὼν ἰατροῦ τοῦ σοφοῦ Χρυσοστόμου.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀρχελάοιο μέτωπα λέπραν πάθεν, αἶσχος ἰδέσθαι,
Αὐτὰρ ὅγ' ἀσχαλόων μετ' ἰητῆρας μόλε πάντας,
Οὐδὲ λύθη νούσοιο, τέλος δ' ἁγνὸν Ἰωάννην
Ἵκετο δακρυχέων, καὶ ὑγείας ἔμμορε τῆμος.

### ΕΙΣ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ ΙΑΣΑΜΕΝΟΝ ΑΙΜΟΡΡΟΥΝ.

Τῇ μὲν παλαιᾷ τὰς ῥύσεις τῶν αἱμάτων Ἔστησε Χριστὸς ἐξ ἐπαφῆς κρασπέδου.
Τῇ νῦν δ' ὁ χρυσόγλωττος, ἐξ εὐχῆς μόνης, Ὦ πτίλον εὐχῆς, ἣ Θεοῦ μέχρι
(Φθάνει.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Φόρτος ἐφ' ἡμιόνοιο κενὸς μόλες ὦ μέγα λυπρή
Χριστῖνα αἱματόεσσι βιασκομένη ῥεέθροισιν,
Ἀλλὰ τεοῖσι πόδεσσιν ὑπόστροφον ἤλυθες οἶμον.
Χρυσολόγος φύξιν γὰρ ἀτειρέϊ πόρσυνε νούσῳ.

### ΕΙΣ ΙΩΑΝΝΗΝ, ΟΠΩΣ ΤΟΝ ΕΝΟΧΛΟΥΝΤΑ ΤΟΙΣ ΑΝΤΙΟΧΕΥΣΙ ΛΕΟΝΤΑ ΣΤΑΥΡΟΥ ΤΥΠΩ ΑΠΕΚΤΕΙΝΕΝ.

Δεινὸς μὲν εἷ θὴρ, καὶ τί γάρ; ἢ θὴρ λέων Χαίτην τινάττων ἀνυπόστατα βρύχων;
Πλὴν οὐ τοσοῦτος, ὥστε τὸν σταυροῦ τύπον Ἰδὼν παρελθεῖν ἀπαθὴς τὴν ἰδέαν.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποτ' ἀφ' ὑψιλόφοιο δασυξύλου ἤντετο βήσσης
Ἀντιόχου μετὰ ἄστυ, πολὺν δ' ἐλυμαίνετο λαόν.
Οἶδ' ἐπὶ χρυσολόγον μετακίδναν τ' Ἰωάννην,
Σῆμα δ' ὅγε σταυροῖο πόρε σφισὶ, πέφνε δὲ θῆρα.

### ΕΙΣ ΙΩΑΝΝΗΝ ΕΝ ΤΩ ΧΕΙΡΟΤΟΝΕΙΣΘΑΙ ΠΡΕΣΒΥΤΕΡΟΝ ΤΙΜΩΜΕΝΟΝ, ΟΤΕ ΠΕΡΙΣΤΕΡΑ ΚΑΤΕΒΗ ΕΠΙ ΤΗΝ ΑΥΤΟΥ ΚΕΦΑΛΗΝ.

Περιστερὰ πρόσεισι χειραπτουμένῳ, Τὸ πνεῦμα πάντως τῷ Θεῷ μου καὶ λόγῳ.
Περιστερὰ πρόσεισι καὶ Χρυσοστόμῳ, Ἐκ Φλαβιανοῦ, θαῦμα, χειραπτουμένῳ.





### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ' ὅδ', ὃς μετὰ χερσὶ κάρην βάλε Χρυσοστόμοιο
Καὶ οἱ ἀπ' οὐλύμποιο πελειάδος εἶδος ἐρατόν
Ἵδρυται ἀμφὶ κόρυμβα, τάχ' ἄρ Θεὸς εὔχεται εἶναι;
Οὔ ξένε, οὐ Θεός ἐστι. Θεῷ δ' ἐπιείκελος ἀνήρ.

### ΕΙΣ ΤΗΝ ΠΕΝΤΕ ΜΕΝ ΤΕΚΟΥΣΑΝ ΠΑΙΔΑΣ ΓΥΝΑΙΚΑ, ΕΙΤ' ΕΠΙ ΤΟΙΣ ΤΕΣΣΑΡΣΙ ΚΑΙ ΤΟΝ ΠΕΜΠΤΟΝ ΑΠΟΛΕΣΑΣΑΝ.

Γύναι τί πενθεῖς καὶ τί μακρὰ δακρύεις; Πέντε προῆξα παῖδας εἰς βίον ξένε,
Τοὺς τέτταρας προὔθαψα. τῷ δὲ λοισθίῳ Ἐγγὺς τὸ δεινόν. ἱκέτευσον τὸν μέ-
(γαν.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δύσπαις, σχετλιότεχνε κακηλεχὲς οὐ κατὰ μοῖραν
Ὠδῖνας, ἣδ' ἔτεκες, πέντ' ἔκτεκες, ἀλλ' Ἀΐδός δε
Οἱ πίσυρες μετέβαν, καὶ ὁ πέμπτος ἀγχόθι πότμου.
Θάρσεε φλαυροτόκεια, τὸν ὕστατον οὐκ ἔτ' ὀλέσσῃς.

### ΕΙΣ ΙΩΑΝΝΗΝ ΠΑΤΡΙΑΡΧΗΝ ΓΕΝΟΜΕΝΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ναὶ ποῖον ἐχρῆν ἄλλον ὦ χρυσοῦν στόμα Τῷ πατριάρχου προσκαθιζῆσαι θρόνῳ;
Οὐκ ἄλλον ἢ σέ. τοιγαροῦν σε λαμβάνει Ἡ καρδία γῆς τοῦ Θεοῦ τὴν καρδίαν.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀντιόχου μέγα ἄστυ πολίεσιν ἔξοχον ἐσσί
Εὐρυπυλὲς μέγα πύργον, Ἰωάννην δὲ καὶ ἔμπης
Οὐ χωρεῖς βασίλεια πόλις, μιν τοὔνεκα σεμνή
Οἵη ἀπ' ἐκ πολίων χώρησ' ἁγνὸν ἀρχιερῆα.

### ΕΙΣ ΙΩΑΝΝΗΝ ΕΝ ΤΩ ΕΞΗΓΕΙΣΘΑΙ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΠΑΥΛΟΥ, ΑΥΤΟΥ ΠΡΟΣ ΟΥΣ ΟΜΙΛΟΥΝΤΟΣ, ΠΟΙΟΥΜΕΝΟΝ ΤΗΝ ΕΞΗΓΗΣΙΝ.

Μήνυε Πρόκλε, πῶς δὲ μηνύσω ξένε; Τοῦ φαλακροῦ λαλοῦντος εἰσδύντος ποτέ,
Οὐκ οἶδα. τίς δὲ καὶ παρ' οὗ πεμφθεὶς λέγει; Οὐκ οἶδα, πλὴν μόρφωμα τοῦ
(Παύλου φέρει.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παῦλος ἄρα τριτάτοιο πόλου ἀπὸ θέσφατ' ἄκουσε
Κρυφίνως σήμηνεν ἐπιστολίῃσιν ἑῇσι.
Χρυσολόγος δὲ σάφησε τάων νόον, οὕασιν οἷσι
Παῦλον ἔχων λαλέοντα τρινυχθέα, ὣς φάτο Πρόκλος.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΜΑΚΕΔΟΝΙΟΥ ΝΟΣΟΥΣΑΝ ΓΥΝΑΙΚΑ, ΚΑΙ ὅπως ἐκ Μακεδονίου ἄρτον λαβοῦσα, λίθον τοῦτον εὕρατο.

Κρύπτεις τὸν ἄρτον τῆς καθαρᾶς θυσίας, Καὶ τὸν μιαρὸν ἀντιλαμβάνεις γύναι.
Θάῤῥει. λίθον γὰρ τὸν τέως ἄρτον μάθῃς, Καὶ Χριστιανῶν πίστεως γνῶς τὸ κράτος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Θηλυτέρη τε πόσις τε Μακεδονίου νόσον ἄμφω
Πάσχον. χρυσολόγος δὲ λόγων ἑλίκεσσι τὸν ἄνδρα
Σύσχετο. οὐδέ τ' ἄκοιτις ὁμοφρονέουσα ῥυπαρόν
Ἄρτον ἑλών μετὰ χερσὶν, ὅ δ' ἐς λάαν αὐτίκ' ἀμείφθη.

ΕΙΣ ΕΥΔΟΞΙΑΝ ΕΚΦΟΒΟΥΣΑΝ ΤΟΝ ΙΩΑΝΝΗΝ, ΟΤΙ παυλάκιον τὸν ἀδικήσαντα Καλλιτρόπην τὴν χήραν οὐ μεθίει ἕως ἂν, τὰ ἀδίκως ἀφαιρεθέντα αὐτῇ ἀναδῷ.

Ὦ χρυσολάτρι βασιλὶς Εὐδοξία Τὸν χρυσόγλωττον ἐκφοβεῖς; ξαίνεις νέφος
Οὐ γὰρ βραβεύσει λοῦτρα τῷ Παυλακίῳ. Ἕωσπερ ἂν δῷ πάντα τῇ Καλλιτρόπῃ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δοιοὶ ἑκατόνταρχοι ἅμα σφετέροις στρατιώταις
Χρυσολόγον μετέβαν, Παυλάκιον ὄφρ' ἀπὸ νηοῦ
Ἕλξωσ' οὐδέ μιν ἕλξαν, ὁ γὰρ φλιῇ ἄγγελος ἄκρῃ
Ἵστατο. οἱ δὲ τρέσαντες ὑπόστροφα ἴχνια τρέψαν.

ΕΙΣ ΕΥΔΟΞΙΑΝ ΤΟΝ ΤΗΣ ΧΗΡΑΣ ΑΜΠΕΛΩΝΑ ΛΑΜΒΑΝΟΥΣΑΝ.

Μικρὸν τὸ κράτος εἰπέ μοι τῶν Αὐσόνων Ἄπληστε βασίλισσα γῆς Εὐδοξία;
Ὡς καὶ τὸν ἀμπελῶνα τῆς χήρας θέλειν Λαβεῖν κατὰ πρόφασιν ἀνόμου νόμου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ναὶ ναὶ πρυτάνοιο χόλου μένος Ἰωάννου,
Οὕνεκά περ χήρην βραχυβότρυος ἀμπελεῶνος
Ἄπληστος βασίλεια νόμων ἀπάτερθεν ἄμερσε,
Καὶ θ' ἱερῶν θυράων μιν ἀπέργαθε, μὴ πόδα βάψῃ.

ΕΙΣ ΙΩΑΝΝΗΝ ΚΑΙ ΕΠΙΦΑΝΙΟΝ ΓΡΑΦΟΝΤΑΣ ΑΛΛΗΛΟΙΣ ὡς οὐ φθάσουσιν, ὁ μὲν τὴν ἐξορίαν, ὁ δὲ τὸν θρόνον.

Ἡμᾶς καθαιρῶν, οὐ φθάσεις σὺ τὸν θρόνον, Ἰωάννης ἔγραψεν Ἐπιφανίῳ.
Κἀκεῖνος ἀντέγραψεν, οὐδὲ σὺ φθάσεις Τὴν ἐξορίαν, τοὺς λόγους πιστοὺς κρίνων.





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χρυσολόγος πότ' ἔγραψεν Ἐπιφανίῳ, οὐ σύ γε Κύπρον
Βλέψεαι, ἡμετέρῃ γὰρ σύνθεο ὑπεροριῇ.
Τὸν δ' ἠμείβετ' ἔπειτ' Ἐπιφάνιος, οὐδὲ σὺ χῶρον
Ἐξορίης πότ' ἴδησθα, ἕνεκά δε πιστὰ δοκεύεις.

ΕΙΣ ΤΗΝ ΕΞΟΡΙΑΝ ΙΩΑΝΝΟΥ.

Ἐκ πυράνου ἀπέπτωκεν ἥλιος μέγας, Ἐκ γῆς ὁ παράδεισος ἀρθεὶς ἐφθάρη,
Ἰωάννης μετῆλθεν ἐκ Βυζαντίδος. Γῆ Ῥωμαῒς κλαίω σε τῆς ἀκοσμίας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἰθὴρ τίπτ' ἀφ' ὕπερθε πυρέκβολον ἀστεροπάων
Οὐ φλόγα κἀκκεφαλῆς δαΐην βάλες, οὐδὲ σὺ γαῖα
Δεινὰ χάνες, πόντου τε μέγα στόμα οὐ καταοίχθης
Δυσσεβέων ἀνέρων, οἳ χρυσολόγον καθέλεσκον.

ΕΙΣ ΙΩΑΝΝΗΝ ΕΓΚΑΛΟΥΜΕΝΟΝ ΤΑ ΩΡΙΓΕΝΟΥΣ ΦΡΟΝΕΙΝ.

Εἶτ' οὐ κλύεις ἥλιε τῆς βλασφημίας; Οὐ μανθάνεις γῆ τοῦ λόγου τὴν αἰσχύνην;
Ὠριγενίζειν ἐγκαλοῦσιν οἱ πλάνοι Τῶν αἱρετικῶν τῷ πνιγεῖ Χρυσοστόμῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ τόσον οὐ μὰ λόγους ὀΐσάμην ψευδέα φῶτα
Εὕρεμεν ἐν χθονίοις, ὡς καὶ ἀγνὸν Ἰωάννην
Αἱρετικὸν καλέσαι, τὸν ὑπέρθυμον αἱρεσιάων
Ἀντίμαχον, τριάδος τε μέγαν πρόμον ἀρχεσιφῶτου.

ΕΙΣ ΙΩΑΝΝΗΝ ΙΩΜΕΝΟΝ ΤΟΝ ΕΝ ΚΟΥΚΟΥΣΩ λατρεύοντα τῷ ἡλίῳ παράλυτον.

Τὸν ἀστρολάτρην πάρεσιν πεπονθότα Ὁ Χριστολάτρης ἀναρωννύει λόγῳ,
Τὴν ψυχικήν δε συνθεραπεύων νόσον, Χριστῷ διδάσκει προσκυνεῖν ἀντ' ἀστέρων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κουκουσὲ πτολίεσσιν ἐλαχίστη μέγα χαῖρε,
Ὅττι καὶ εὐρυπύλου Βυζαντίδος ἔπλεο κρέσσων,
Τὴν μὲν χρυσολόγος γὰρ ἀπέκλιπε, σοὶ δὲ πελάσας
Σὸν πάρετον θεράπευσεν ἀναλθέα ἡλιολάτρην.



SISMANOGLIO MEGARO

ΕΙΣ ΙΩΑΝΝΗΝ ΤΙΣΙ ΠΟΤΕ ΙΩΑΝΝΗ ΚΑΙ ΠΕΤΡΩ ΤΡΕΦΟΜΕΝΟΝ

Ἐκ τῆς ὁδοῦ καμόντι τῷ Χρυσοστόμῳ Ἰωάννης πρόσεισι καὶ Πέτρος πάλιν,
Οὐ κλεῖς διδόντες καὶ τόμον καθὼς πάλαι Βρῶσιν δ' ἀναζώωμα νεκροῦ σαρκίου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χρυσολόγε χρονίῃ κεκαφηὼς ἄψε ἀταρπῷ,
Καὶ λύπῃ τε νόσῳ τε καὶ ἀτροφίῃ κακοπάσχων,
Βρωτυῖ σῶμ' ἀνάειρε, καλὸς τήν τοι πόρε Πέτρος.
Μὴ σέο δύσθε' ἄνασσα κατ' ὄστεα γαῖα καλύψοι

ΕΙΣ ΤΟΝ ΤΡΙΧΟΡΟΝ ΑΡΣΑΚΙΟΝ ΓΡΑΜΜΑΤΙΚΟΝ ΔΙΑΔΟΧΟΝ ΙΩΑΝΝΟΥ.

Τίς οὐ γελάσει τῶν ἀνάκτων τὴν μέθην; Ἰωάννην γὰρ ἐκβαλόντες τοῦ θρόνου,
Τὸν ἡδὺν εἰπεῖν τὴν Χριστοῦ χελιδόνα Ἀνθιδρύουσι Ἀρσάκιον τὸν Κρόνον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς τοι δειλὲ θόωκε κακάφρον ἐβάσκανε τελχὶν
Ἐνδέ τοι ὕβριν ἔχευεν; Ἰωάννου μὲν ἀμέρσας,
Ἄφρονα δ' Ἀρσακίου πολιὴν ἐπὶ σεῖο κορίξας,
Ὡς δυσαριστοθόωκος ἀνὶ κλισμοῖσιν ἐτύχθης.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΙΩΑΝΝΟΥ.

Ἔθνησκες αἰεὶ τῇ προαιρέσει μάκαρ, Κόσμῳ τὰ σαυτοῦ σαρκικὰ σταυρῶν μέλη
Θνήσκεις φύσει νῦν, καὶ βροτῶν πληροῖς νόμους, Τὸν ἐν τάφοις σκώληκα μικρὸν (δαπνίσας

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄγγελον εἴ τις ἔειδεν ὑπὸ χθονὶ κείμενον ἄπνουν
Ἄγγελον εἴ τις ἄκουσ' ἀκινητίζοντ' ἀνὶ τύμβῳ.
Νῦν ὅγε χρυσολόγοιο δέμας φθιμένου ἐσοράτω.
Πότμε τίς ἄρ σε φύγησιν, ὃν οὐ φύγεν Ἰωάννης.

ΤΟΥ ΑΥΤΟΥ ΣΤΙΧΟΙ ΚΑΡΚΙΝΙΚΟΙ.

Σοφὸς ἔγωγε ἤδη ὢν ἂν ὦ. ἤδη ἔγωγε σοφός.
Ὦ σὸν ἄναρχε νόμον ἔχρανα νόσῳ.
Νοσῶ σὺ ὃς ἢ ἴαμα Ἰησοῦ σῶσον.
Ἕλε σὺ δὴ ὁ σοφὸς ὁ ἡδὺς ἕλε.
Σολομῶν φήσω, Ἰωσὴφ νῷ μολος.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Ἱερὰ σὰ παρὰ χείλη, ἥλιε χαρὰ πᾶσα ῥεῖ.
Νίψον ἀνομήματα μὴ μόναν ὄψιν.



# ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΔΩΡΟΥ

## ΕΠΙ ΑΠΟΔΗΜΩ ΤΗ ΦΙΛΙΑ.

ΞΕΝΟΣ. καὶ ΦΙΛΙΑ.

Ξε. Ὦ Φιλία δέσποινα πάντιμον κάρα.
Ποῦ καὶ πόθεν; καὶ ταῦτα μεστὴ δακρύων
Στυγνή, κατηφής, τὴν κόμην ἐσκυλμένη,
Κύπτουσα πρὸς γῆν ὠχριῶσα τὴν χρόαν,
Χιτώνιον πενθῆρες ἠμφιεσμένη,
Ἀτημελὴς τὸ ζῶσμα, καὶ τὸ βλαυτίον,
Καὶ τὴν κακίστην ἀλλαγὴν ἠλλαγμένη.
Ὁ δὲ στολισμὸς ὁ πρὶν, ἡ δὲ πορφύρα,
Ἡ δ' εὐπρέπεια, καὶ τὸ τοῦ χείλους ῥόδον,
Ὁ δὲ πλόκαμος, ἡ δὲ τῆς ζώνης χάρις,
Αἱ δ' ἀρβυλίδες, ἡ δὲ λοιπὴ σεμνότης,
Ὤχοντο πάντα πρὸς τὸ μηδὲν ἀθρόα,
Καὶ νῦν γυναιξὶν ἐμφερὴς θρηνητρίαις,
Στυγνὴ βαδίζεις, ἀλλὰ ποῦ δὴ καὶ πόθεν;
Φι. Γῆθεν πρὸς αὐτὸν τὸν Θεὸν καὶ πατέρα.
Ξε. Ἔρημος οὖν ὁ κόσμος ἐστὶ Φιλίας;
Φι. Ἔρημος, ὃς τοσοῦτον ἐξύβριζέ με,
Ξ. Ὕβριζε; Φ. καὶ θύραθεν ἐξέρριπτέ με.
Ξ. Θύραθεν; Φ. ὥστε καὶ νομισθῆναι θανεῖν,
Ξ. Εἶτ' ἐξέκειτο; Φι. καὶ μεμαστιγωμένη.
Ξ. Μελαγχολᾷ τὸν κόσμον ἄντικρυς λέ-
Οὕτω μανικῶς ἐμπαροινήσαντά σοι. (γεις
Φι. Τί δ' ἂν τὰ λοιπὰ τῶν ἐμῶν παθῶν
μάθῃς;
Νῦν μου κατ' ἀμφοῖν πυγμαλοῦντος τοῖν
γνάθοιν,
Νῦν δ' ὠθοροῦντος λὰξ κατ' αὐτῆς γαστέρος.
Ἐῶ τὰ λοιπὰ καὶ τὰ μείζονα ξένε,
Ἦ γὰρ μαθὼν, ἤλγησας ἂν τὴν καρδίαν.
Ξ. Μὴ μὰ πρὸς αὐτοῦ τοῦ πατρός σου Φιλία,
Μηδὲν σιγήσῃς, ἀλλά μοι τὸ πᾶν φάθι.
Φι. Οὐκοῦν καθιζήσαντες ἀμφὶ τὴν πίτυν,
Ὁρᾷς τὸ δένδρον ὡς καλόν τε καὶ μέγα,
Τὸ πᾶν ἐπεξέλθωμεν ἤδη τοῦ λόγου.
Ξ. Ἰδοὺ καθιζήκαμεν, ἄρξαι τοῦ λέγειν.
Φι. Ἐγὼ τὰ πρῶτα τῷ Θεῷ τῇ τριάδι
Ἀεὶ σύνειμι καθαρῶς ἡνωμένη,
Ἐν τοῖς ἀσωμάτοις δὲ δευτέροις νόοις
Καὶ ταῖς τρισὶ τριάσι ταῖς ἄνω μένω,
Οἷον Χερουβὶμ καὶ Σεραφὶμ καὶ θρόνοις
Καὶ ταῖς προλοίποις ἀΰλοις στρατιαρχίαις.
Ἔστω μὲν αὐταῖς, καὶ πρὸς αὐτὰς τὴν σχέσιν,
Καὶ πρὸς τὸ Θεῖον, καὶ πρὸς ἀλλήλας νέμω,
Καὶ τὰς τοσαύτας τῶν ἄνω μυριάδας,
Εἰς ἓν συνάπτω, καὶ μίαν στερρὰν πλέκω,
Ἑωσφόρος μόνος με πρὶν ἀπεστράφη,
Κἀκ τῶν ἀφ' ὕψους ἀντύγων κατεστράφη,
Οὕτω μὲν οὕτως ἡ νοουμένη κτίσις

Νῦν

Ἐμοὶ κρατεῖται, καὶ μόνῃ φρουρουμένη.
Τὴν γὰρ θεατὴν καὶ κατ᾽ αἴσθησιν φύσιν,
Τὸ κοσμικὸν πλήρωμα τὴν κάτω κτίσιν.
Τίς ἀμφιβάλλει μὴ κρατεῖσθαι Φιλίᾳ;
Ὁ φλήναφος γὰρ Ἐμπεδοκλῆς ἐῤῥέτω,
Τὸ νεῖκος εἰπὼν δημιουργὸν τῶν κάτω,
Τί γὰρ νοήσει, καὶ συναίσθεται τίνος
Ἄνθρωπος οὐ γνοὺς ὡς τὸ πῦρ φύσει καίει;
Ἀλλ᾽ εἰς πυρὸς κρατῆρας ἐμπεσὼν μέσους.
Ἢ τίς τὸν εὐρὺν οὐρανὸν καὶ τὸν μέγαν,
Ἄκαμπτον ὄντα τὸ πρὶν εὐθυωρίᾳ,
Ἀρχῇ πιθέσθαι τοῖς λόγοις τοῦ φαμένου,
Ἔκαμψεν εἰς τὴν σφαῖραν, εἰμὴ Φιλίᾳ.
Οἷον γὰρ εἰπεῖν, ὡς καλοῦ καὶ κοσμίου
Ἐρῶν ἑαυτοῦ πρὸς κύκλον συνεστράφη,
Ἑαυτὸν αὐτῷ φιλιῶν πανταχόθεν,
Καὶ πάντα πᾶσι συμπερισφίγγων μέρη.
Ἐγὼ τὰ κύκλα τῶν ἀπείρων ἀστέρων,
Ἁπλῶς ἁπάντων, ἀπλανῶν, πλανωμένων
Ἔταξα δεσμῷ καὶ συναφῇ πανσόφῳ.
Ἐγὼ φιλιῶ τῷ σεληναίῳ κύκλῳ
Τὸν ἡλιακὸν δίσκον, ὃς τὸ φῶς βρύει,
Καὶ φιλιῶ τοσοῦτον, ὡς καὶ λαμπάδας
Κιχρᾶν ἐκείνῳ τοῦτον εἰς νυκτῶν σέλας.
Ἐγὼ τὸ πᾶν πλήρωμα τοῦ παντὸς βίου
Πλοκῇ ξυνεστὼς φύσεων ἐναντίων
Καινῶς ἐνίζω, κἂν διΐσταται φύσει.
Ξηρὸν τὸ πῦρ, ὑγρὸν δὲ χύσις ἀέρος
Καὶ γειτονοῦσι ταῦτα καὶ μέσον μάχη.
Ἀλλ᾽ ἐμβαλοῦσα τοῖν δυοῖν ἐναντίοιν
Κοινὸν τὸ θερμὸν, τὴν μάχην ἀνατρέπω.
Θερ-

Θερμὸν μὲν ἀὴρ, ἀλλ᾽ ὕδωρ ψυχρὸν φύσει
Ἀγχιθυρεῖ δε, καὶ κατ᾽ ἀλλήλων πνέει,
Ἀλλ᾽ ἡ μεσιτεύουσα τούτοις ὑγρότης
Ἄμφω ξυνάπτει, καὶ πρὸς εἰρήνην φέρει.
Ὕδωρ μὲν ὑγρὸν, ἡ δὲ γῆ τοὐναντίον,
Μέση δ᾽ ἐν ἀμφοῖν ἐμπεσοῦσα ψυχρότης
Φίλιον αὐτοῖς ἐμβραβεύει τὸν βίον.
Τοιαῦτα τὰ στοιχεῖα τοῦ παντὸς βίου,
Τὰς τέτταρας δὲ τοῦ γίγαντος ἡλίου
Τροπὰς, τίνος φαίημεν; οὐχὶ Φιλίας;
Χειμὼν γὰρ εὐθὺς οὐ τέτραπται πρὸς θέρος
Τῶν ποιοτήτων σφῶν ἐναντιουμένων,
Ἀλλ᾽ εἰς ἔαρ μετῆλθεν, εἶτα πρὸς θέρος,
Καὶ τοῦ θέρους ἡ κρᾶσις, οὐκ εἰς τὸ κρύος,
Ἀλλ᾽ εἰς μέσον τι, τῶν ὀπωρῶν τὴν φθίσιν,
Κἀντεῦθεν ὥσπερ ἐξ ἀπαλῶν παρθένων
Τῶν συμπλεκουσῶν τὰς κρόκας καὶ τοὺς μίτους.
Ὥρας δὲ ταύτας γνῶθί μοι τὰς παρθένους
Καλὴ τελεῖται τῶν ἐτῶν ἰσουργία.
Ἐγὼ συνιστῶ τὸν βροτήσιον βίον,
Εὐρωστία καὶ κάλλος ἄμφω Φιλίας,
Ἄμφω Φιλίας ἔργα πῶς ζητεῖς; μάθε
Ἂν ἡ τετρακτὺς τῶν χυμῶν σχῇ Φιλίαν,
Καλῶς ἔχει τὸ σῶμα, καὶ μακρὰν νόσοι,
Εἰ τῶν μελῶν δ᾽ εὔρυθμός ἐστιν ἡ σχέσις,
Ἔχει δὲ καὶ σύστοιχον ἀλληλουχίαν,
Ἐνδύεται δὲ καὶ χρόαν εὐχρουστέραν,
Κάλλος καλεῖται τοῦτο τοῖς παλαιτέροις.
Ἡ γοῦν ὑγεία καὶ τὸ κάλλος Φιλίας.
Ἐγὼ πολίζω τὰς πόλεις ἡ Φιλία.
Κἂν εἰ πόλεις λέγοι τις αὐτὰς τὰς πόλεις,



Κἂν αὐτὸ μᾶλλον τῶν πολιτῶν τὸ στίφος.
Πλίνθοι γοῦν ὀπταὶ καὶ λίθων ξεστῶν βάρη
Ἐμοὶ ξυνῆλθον εἰς ἑνὸς τοίχου κτίσιν,
Δυὰς δὲ τοίχων ἀμφὶ γωνίαν μίαν,
Καὶ γωνίαι τέσσαρες εἰς πλήρη δόμον.
Ἐγὼ συνιστῶ τὰς παρ᾽ ἀνθρώποις τέχνας,
Καὶ τῷ σκυτεῖ μὲν φιλιῶ τὸν κναφέα,
Τῷ χαλινεργάτῃ δὲ, τὸν στρατηλάτην,
Καὶ τῷ γεωργῷ τὸν βάναυσον συνδέω,
Καὶ τεχνίτην ἅπαντα παντὶ τεχνίτῃ.
Χρήζει γὰρ ὄντως ἁλιεὺς πᾶς γηπόνου.
Διδοὺς γὰρ ἰχθὺν, ἄρτον ἀντιλαμβάνει.
Καὶ γηπόνος πᾶς αὖθις ἀσπαλιέως,
Διδοὺς γὰρ ἄρτον ἰχθὺν ἀντιλαμβάνει.
Καὶ παντὸς ἅπας ἐνδεὴς ὁ τεχνίτης.
Κἀντεῦθεν εὖ πάσχουσιν αἱ πόλεις πᾶσαι.
Ἐγὼ γάμου σύμπαντος ἡ νυμφοστόλος,
Ἐγὼ τὸ θῆλυ πρὸς τὸν ἄῤῥενα τρέπω,
Ἐγὼ τὸν ἄνδρα πρὸς τὸ θῆλυ συντρέπω.
Τί γὰρ μύραιναν τὴν θαλασσίαν ὄφιν,
Τὸ πόντιον πέπεικεν ἐκλιπεῖν βάθος;
Ἀναδραμεῖν δὲ τῆς θαλάσσης τὴν ῥάχιν,
Ἐπιδραμεῖν δὲ καὶ τὸ χερσαῖον πέδον;
Τίς τοῦ σιδήρου τὴν ἅπασαν οὐσίαν
Δούλην καθιστᾷ τῆς μαγνήτιδος λίθου;
Οὐδέν τι πάντως ἄλλο Φιλίας δίχα.
Ἐμοὶ τὸ πᾶν ζῇ, καὶ κρατεῖται, καὶ μένει.
Εἴπω τὸ μεῖζον καὶ σιγάτω πᾶς λόγος,
Ἐγὼ Θεὸν τὸν ὄντα τὸν παντεργάτην,
Τὸ πατρὸς ἐκσφράγισμα, τὸν μέγαν λόγον,
Τὸ παμφαὲς φῶς, τὴν ὑπέρθεον φύσιν,
Τὸν ἄχρονον νοῦν, τὴν χρονουργὸν οὐσίαν.

Ἐλθεῖν ἔπειτα μέχρι γῆς καὶ τῶν κάτω,
Καὶ τὴν παθητὴν προσλαβεῖν ὅλην φύσιν,
Καὶ σωματικὴν ἐνδυθῆναι πορφύραν
Ἐκ παρθενικῶν αἱμάτων ὑφασμένην.
Παθεῖν, θανεῖν, φεῦ τῆς τοσαύτης ἀγάπης!
Δι᾽ ἧς τοσοῦτον ἔργον, ὢ φίλτρου ξένου!
Δι᾽ ὃ χρονικῶς μίγνυται τῷ σαρκίῳ,
Ὁ κυριεύων καὶ χρόνου καὶ σαρκίου,
Καὶ συνανιστᾷ τὴν πεσοῦσαν εἰκόνα,
Ἐν τῷ καθ᾽ αὐτὸν ἀναχωνεύσας πάθει.
Τοιαῦτα τἀμὰ πρὸς βροτοὺς ἔργα ξένε,
Τοιαῦτά μου τὰ δῶρα τὰ πρὸς τὸν βίον,
Ἀλλ᾽ εἰς νεκροὺς τὰ μῦρα τῆς παροιμίας
Ἀλλ᾽ εἰς ὄνους ἡ λύρα τοὺς κανθηλίους,
Ἐλάνθανον γὰρ ἀχαρίστῳ δραπέτιν
Ὅλην ἐμαυτὴν ἐκδιδοῦσα τῷ βίῳ.
Ὃς τὴν ἐμὴν μὲν ἀθετεῖ συνουσίαν
Δείλαιος ἀνδρῶν, εἰς δ᾽ ἀγεννῆ μαχλάδα
Ἔχθραν καλοῦσι τὴν ἀτάσθαλον ῥέπει.
Τῆς δουλίδος γὰρ μωρίας ξυνεργίᾳ
Αὐτὴν μὲν αὐτὸς εἰσάγει τῆς οἰκίας,
Ἡμᾶς τύπτων ἐξάγει, ὦ νόμοι, νόμοι,
Καὶ τοὺς ἀθέσμους οὐδὲ κἂν κλέπτει γάμους,
Ἀλλ᾽ ἀναφανδὸν ἐκτελεῖ τὴν αἰσχύνην,
Καίτοι πρὸ πάντων ἀγνοῶν καὶ τὴν θέμιν,
Τί φλαῦρον ἡμῖν, ὥστε λῦσαι τὸν γάμον;
Τί δ᾽ ἀγαθὸν πρόσεστι τῇ μοιχαλίδι,
Ὥστε πρὸς αὐτὴν ἀντενέγκαι τὸν πόθον;
Εἰ γάρ με ταύτῃ συγκρίνειν βούλοιτό τις;
Ὀκνῶ τὰ κομψὰ μέμψιν εὐλαβουμένη.
Ἐγὼ μὲν εἰμὶ χαροπὸς, χρηστὰ βλέπω
Καὶ μειδιῶ τὰ πλεῖστα, καὶ χάριν πνέω.

Κᾂν δεῖ λαλεῖν, ἐνταῦθα γλυκύτης ὅση·
Κᾂν δεῖ γελᾷν, ἐνταῦθα σεμνότης ὅση·
Ἐν συμπλοκαῖς σὺ μανθάνεις τοὺς δακτύλους,
Ἐν τοῖς βαδισμοῖς τοὺς πόδας δ' οὐκ ἂν μάθῃς;
Κᾂν νῦν πλακοῦντες, νῦν δ' ἅλες τρέφωσί με,
Οὐ τοὺς πλακοῦντας προκρίνω τῶν ἁλάτων.
Ἐν τοῖς ἀγαθοῖς τὸν πέλας γοργὸν βλέπω,
Πάσχω δὲ πρὸς φαῦλόν τε ἀμβλυωπίαν.
Ἐναντίας πέφευγα κακίας δύο.
Τὴν ὑπόκρισιν, τόν τε πέρπερον τρόπον.
Ἐμοῦ μὲν οὖν τοσαῦτα, τῆς δ' ἔχθρας τίνα;
Φόνιον αἷμα, χεῖρες ᾑματωμέναι.
Ὕπωχρος ὄψις, ἐκτετηγμέναι γνάθοι.
Φωνὴ τραχεῖα, βάρβαρος δὲ τὸ πλέον.
Ἄσεμνος ὕβρις, ἅλμα, κραυγὴ, θροῦς ὅσος.
Τίς οὖν φρονῶν ἄνθρωπος, εἰπέ μοι ξένε,
Τοιάνδ' ἀφεὶς, ἕλοιτο τοιάνδε βλέπειν
Βάκχην ἀτεχνῶς, ἀγρίαν, καὶ μαχλάδα.
Ἀλλ' ὁ τρισανόητος ἄθλιος βίος
Τοιαῦτα τολμᾷ, καὶ τόσην ἀδικίαν.
Ἐγὼ δὲ καὶ τοσαῦτα παθοῦσα ξένε.
Ὅμως φιλῶ μου τὸν ξυνευνέτην πάλιν.
Πῶς γὰρ δυναίμην μὴ φιλεῖν ἡ φιλία;
Ἀλλ' ἐν κενοῖς εἴποι τις ἴσως ὦ γύναι,
Κακηγορεῖς τὸν ἄνδρα καὶ πόῤῥω λόγου.
Δέον κακῶς γὰρ τὴν θεράπαιναν λέγειν,
Ἥτις πότ' ἐστὶν, ἣν ἔφης σὺ μωρίαν.
Αὕτη γὰρ αὐτὸν εἰς τὸ μῦσος ἑλκύει.
Σὺ δ' ἀλλ' ἐκείνην ἐξάγεις τῆς εὐθύνης.
Πνέεις δὲ πῦρ ἄντικρυς ἀμφὶ τὸν βίον.
Εἰ ταῦτα τίς πρόθοιτο πιθανῶς τάχα.
Ἀντιπροθοίμην ταῦτα πιθανωτέρως.

Ἐφ' ᾧ γὰρ ἡμῶν μὴ κλύων τῶν γνησίων.
Ὅλας παρέσχεν ἀκοὰς τῇ δουλίδι,
Καίτοι μαθὼν τὸ δοῦλον ἐχθρὸν δεσπόταις.
Πλὴν ἀλλὰ καὶ πῶς τῆς λυσιγάμου γάμος,
Ἢ πῶς φιλίας μὴ παρούσης τῷ γάμῳ
Ἔσαι τὸ κοινώνημα τῆς συνουσίας,
Βλέπεις φροντῖτιν ἣν νοσεῖ, βλέπεις μέθην,
Ὁρᾷς μανικὴν ἐκτροπὴν, ὁρᾷς νόσον,
Οὐδ' αὐτὸ γοῦν ἔγνωκεν ὡς ἔχθρας φύσις,
Οὐκ οἶδε δεσμεῖν, ἀλλὰ τοὺς δεσμοὺς λύειν.
Ὅπως δὲ σαφῶς τοῖς καθ' ἡμᾶς ἐντύχοις,
Κᾀκ τῶν θύραθεν τῶν λόγων πιστωτέον.
Ἡ μὲν γὰρ ἐμπίπτουσα καὶ πρὸς τὴν φύσιν
Αὐτὴν ἑαυτῇ φιλονεικεῖν κορθύει.
Τὸν Ἐτεοκλῆ καὶ Πολυνείκη βλέπε,
Ἔχθρας γὰρ ἀμφοῖν ἐγχορευσάσης μέσον
Ἑκάτερος τέθνηκεν ἐξ ἑκατέρου.
Ἐγὼ δὲ συνδέουσα τοὺς ἀλλοτρίους,
Κρείττους καθιστῶ συγγενῶν ὁμογνίων.
Ὁ γὰρ Ὀρέστης καὶ Πυλάδης οἱ φίλοι
Ἐμοὶ κατεπράξαντο τοὺς τόσους ἄθλους.
Ἀκήκοας βέλτιστε τῆς τραγῳδίας,
Ἐντεῦθεν ἀντάκουε τῆς ῥαψῳδίας,
Ἕως μὲν ἔχθρα τὴν σπάθην Ἀχιλλέως
Θήγει κατ' αὐτοῦ τοῦ Μυκηναίου ξίφους.
Ὁ Πριάμου παῖς πυρφόρος πρὸς τὸν στόλον,
Τῆς Θετταλικῆς ἠρεμούσης ἀσπίδος.
Ὅλον δὲ τὸ πρὶν μακρὸν εἰς χεῖρας δόρυ
Αἴαντι τῷ γίγαντι τῷ πελωρίῳ.
Ἐπὰν δ' ἐγὼ λάβοιμι τὸν τοῦ Πηλέως,
Ἄλλως ῥιφέντος τοῦ κύβου τοῦ τῆς μάχης.
Ὁ χθὲς διώκων εἰς φυγὴν, νῶτα κλίνει.



Καὶ νεκρὸς Ἕκτωρ ὁ στροβῶν τὴν Ἑλλάδα
Τὴν μίτραν οἰκτρῶς ἐκ ποδοῖν ἐζωσμένος,
Ἱππηλατῶν δείλαιον ἱππηλασίαν,
Χαίτας ἐκείνας τὰς καλὰς καὶ κοσμίας.
Καὶ τὸν καλὸν βόστρυχον εἰς κόνιν σύρων,
Καὶ τὸ τρόπαιον τοῖς Ἀχαιοῖς ὡς μέγα.
Οὕτω λελεσχήκαμεν ἀλλήλων ξένε.
Καὶ βελτίων τίς, σοὶ δίδωμι τὴν κρίσιν.
Ἀλλ' οὐχ ὁ βίος ταῦτα, τὴν δ' ἔχθραν λα-
Ἐμὲ ξένην ἔδειξε καὶ τῆς ἑστίας. (βῶν.
Ἐγὼ μὲν οὖν ἄνειμι πρὸς τὸν πατέρα.
Ἡ δ' ἔχθρα λοιπὸν ἐγχορευέτω κάτω,
Καὶ παιζέτω τὰ τέκνα ταύτης εἰς μέσον.
Βούλει μαθεῖν τὰ τέκνα τῆς ἔχθρας τίνα;
Υἱοὶ, φθόνος, λόχος τε, καὶ τρίτος φόνος.
Θυγατέρες δὲ κακία, μῆνις, μάχη.
Αὕτη μὲν οὖν, ὡς εἶπον, αὐτοῖς τοῖς τέκνοις
Παῤῥησιαζέσθωσαν ἀμφὶ τὸν βίον.
Ἐγὼ δὲ λοιπὸν πρὸς τὸν αἰθέρα τρέχω.
Οἶκτος δὲ πᾶς, καὶ πᾶσα φιλανθρωπία,
Καὶ ζῆλος ἔμφρων, καὶ καλῶν πάντων ἔρως,
Ὁρᾷς ὅπως ἅπαντα συμφεύγουσί μοι.
Ξ. καὶ ταῦτα μὲν δέσποινα φιλία βλέπω,
Συννοῶ δὲ καὶ τὸ μέλλον οὗ δράμῃ.
Καὶ δακρύω μὲν τῆς ἀβουλίας χάριν.
Τὸν οἰκτρὸν ὄντως καὶ ταλαίπωρον βίον,
Σὲ δ' ἄξια δρᾷν, ὧν περ ἀνέτλης, κρίνω.
Πλὴν ἀλλ' ἰδού σε ποτνιῶμαι δακρύων,
Πρὸς τοῦ τεκόντος ἀπαθῶς, πρὸς τῶν χρόνων,
Πρὸς τῶν ἀΰλων οὐσιῶν, σύνελθέ μοι,

Τὴν καλύβην εἴσελθε, τὴν στέγην μάθε,
Ἀποῤῥόφησον φιάλης νηφαλίου,
Καὶ τοῦ τρύφους γεῦθητι τοῦ ποτηρίου,
Καὶ τοῦ ἤθους μέτασχε καὶ τῶν ἁλάτων.
Φ μὴ τοῦτό μοι, μὴ τοῦτο, μὴ τοῦτο ξένε,
Ἅλις γὰρ, ὧν πέπονθα τῷ πρόσθεν χρόνῳ.
Τί πλειόνων δεῖ; τῶν παρελθόντων ἅλις.
Ξ δίκαια φῆς δέσποινα, καὶ καλῶς λέγεις.
Οἷς γὰρ πέπονθας καὶ τὰ μέλλοντα κρίνεις,
Ὅρκῳ δ' ἐγώ σοι πιστοποιῶ τὸν λόγον,
Οὐδὲν γὰρ ἂν δράσω σε τῶν ἐναντίων.
Οὐκ αἰσχυνῶ τὸ φίλτρον, οὐ τὴν ἀγάπην,
Οὐχὶ, πρὸς αὐτῶν, ὧν ἔφης, φρικτῶν λόγων.
Φ. δύναιο δ' ἂν μοι ταῦτα προσφέρειν ἕδνα;
Εἴ σοι παράσχω τοῦ γάμου τὰς ἐγγύας.
Ξ. τὰ ποῖα; λέξον ὡς ἐγὼ παράσχωμαι.
Φ. χαίρειν ἐπ' ἄλλων ἀγαθοῖς ἔξεστί σοι;
Ξ. ἔξεστιν. Φ. ἐν λύπαις δὲ λυπεῖσθαι νόθοις;
Ξ. μάλιστα. Φ. τὰς στρεβλὰς δὲ φεύγειν δι-
πλόας;
Λαλεῖν δὲ ταὐτὰ, καὶ φρονεῖν ἐν καρδίᾳ;
Ξ. καὶ τοῦτο πάντως, ἀλλὰ λοιπὸν πυνθάνου.
Φ. ἔχειν τὰ σαυτοῦ τῶν φίλων ἐν δευτέρῳ;
Ξ. ἔχειν. Φ. δι' αὐτοὺς καὶ θανατῶν πολλάκις;
Ξ. ναὶ καὶ θανατᾷν. Φ. καὶ φθονοῦσι μὴ φθονεῖν;
Ξ. ναί. Φ. τοὺς δὲ βασκαίνοντας ἀγαπᾷν;
Ξε. πάνυ.
Φ. δέδοικα ταῦτα μὴ λόγῳ μὲν προσδέχῃ.
Ἔργῳ δ' ἀπαρνήσαιο. Ξ καὶ μὴν ὤμοσα
Φ. ἄθρει τὸν ὅρκον, ὡς ἐμὲ ξυλλαμβάνεις.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΠΡΟΝΟΙΑΝ.

Οὐκ ἀγνοῶ μὲν δημιουργέ μου λόγε
Ὡς ἀχανὴς ἄβυσσος ἐν σοὶ κριμάτων.
Καὶ τὴν φυλακὴν Ἀββακοὺμ παρατρέχω
Σκοποῦντος, ὡς ἴδοι τι, καὶ πύθοιτό τι.
Οὐ Παῦλον αὐτὸν ἀγνοῶ τὸν σὸν στόμα.
Ὢ γνώσεως λέγοντα καὶ πλούτου βάθος.
Πείθει με τιμᾶν τὴν πρόνοιαν μυρία.
Τοῦ παντὸς ἡ κίνησις ἡ τεταγμένη.
Ἥλιος αὐτὸς τοῖς ἀνωτάτω δρόμοις
Ἀντιτρέχων μέν, ἀλλὰ δὴ καὶ συντρέχων,
Βρύων φάος, μετρῶν δὲ τὸν πάντα χρόνον,
Ὥρας δὲ τὰς τέτταρας εὐρύθμως τρέπων,
Γεννῶν δὲ καὶ χειμῶνα, καὶ τίκτων θέρος,
Καὶ τὰς ἐν ἀμφοῖν ἐμμέσους ποιῶν κράσεις,
Λάμπων ἀνίσχων, ὡς γίγας ἐκ τῆς ἕω
Μεσουρανῶν, ἔπειτα τὴν δύσιν φθάνων,
Δύνων, τρέχων κάτωθεν, ἀνίσχων πάλιν.
Καὶ νύκτα τίκτων, καὶ κύων τὴν ἡμέραν.
Αὔξη σελήνης καὶ πολύτροποι φθίσεις
Τοῦ νυκτερινοῦ γλαυκοφεγγοῦς ἡλίου,
Οἶδα προνοίας ἔργα, καὶ τὰ τῶν κάτω,
Τοὺς γὰρ πρὸς αὐτῷ τῷ σεληναίῳ κύκλῳ
Ἰσῶντας αὐτήν, μηδ' ἐπισκυλητέον.
Ἢ τίς γὰρ ἐστήριξε τὴν γῆν ἐν μέσῳ;
Ὕδωρ ὑποθεὶς βάθρον ἀπείρῳ βάρει;
Εἰ μὴ προνοίας τῆς σοφῆς σοφὸς λόγος.
Ἄγε βραχὺν κάχληκα ῥίψον εἰς ὕδωρ,
Μὴ νήξεταί σοι κοῦφος ἀνὰ ῥοῦν πλέων.
Μὴ φθέγξεταί σοι τοῦ βυθοῦ τὸν πυθμένα.
Εἰ γοῦν ὁ κάχληξ ταῦτα, πῶς τὴν γῆν ὅλην
Ὁρῶν ἐφ' ὑγρῶν ἀρρεπῶς ἱσαμένην
Οὐκ ἐνθυμηθῶ τὴν πρόνοιαν εὐθέως;
Τίς πηγνύει μὲν εἰς νέφος τὴν ἀτμίδα;
Καὶ τοῦ νέφους τὴν πῆξιν εἰς ὄμβρον λύει;
Τῆς χιόνος δὲ τὰ πρόσωπα σεμνύνει;
Ἐκ γλαυκότητος ἐμφύτου ψιμμιθίου.
Σφαιροῖ δὲ τὴν χάλαζαν ἐν τόρνῳ ξύων;
Τρέφει δὲ τὴν ἄγρωστιν ὀρθρίᾳ δρόσῳ;
Τίς ἀνέμους ἔταξε τοὺς εὐθυπνόους;
Οἷς ἀντέταξε τοὺς ἀνακαμψιπνόους.
Καὶ συνελών, τίς τὴν καθ' ἡμᾶς οὐσίαν
Σοφῶς κυβερνᾷ τὴν πολυτροπωτάτην;
Κἂν τὴν Ἐπικούρειον ἀδολεσχίαν
Λέληθε ταῦτα, καίπερ οὐ λαθεῖν δέον.
Εἰ γὰρ μία ναῦς, ἵππος εἰς φθορὰν πάθοι
Χωρὶς χαλινῶν, καὶ κυβερνήτου δίχα,
Καὶ τὴν μὲν εἰσδέξαιτο πόντιος δράκων
Τὸν δὲ σφαλόντα, θὴρ χαραδραίοις φάγοι.
Πῶς ἂν ἀκυβέρνητον εἴποι μὴ μένειν
Τὸ κοσμικὸν πλήρωμα τὴν πᾶσαν κτίσιν;
Οὐκ ἀγνοῶ οὖν, ὡς προείρηκα φθάσας
Ὡς κριμάτων ἄβυσσος ἐν σοὶ Χριστέ μου.
Πλὴν εἰς τὸ βάθος οὐ δυνάμενος βλέπειν,
Καὶ τοὺς ἑκάστου συννοεῖν κρυπτοὺς τρόπους,
Πρὸς τοὺς κυλίνδους ἄχθομαι τῶν πραγμάτων,
Καὶ δυσχεραίνω τὰς νεμήσεις τῶν βίων.
Ἢ πῶς; ὁ τέκτων, ὁ κναφεύς, ὁ λατόμος,
Ὁ βυρσοδέψης, ὁ σκυτεύς, ὁ γηπόνος



Ὁ λοιπὸς ὄχλος τῆς βαναυσίδος τύχης
Σοφῶν μὲν ἀνδρῶν, τῶν γενῶν δὲ κοσμίων
Ὡς δεσπότης ἄρξειεν οἰκετιδίων,
Καὶ νῦν μὲν ἐντρίψειεν αὐτοῖς κονδύλους;
Νῦν δ' ἐξ ἁμάξης ὑβρίσοι τὸ τοῦ λόγου;
Καίτις μὲν ὀψόπωλιν αὐχῶν μητέρα,
Ἢ γοῦν ὀπωρόπωλιν, ἢ καπηλίδα,
Καὶ πατρὸς υἱὸς τυγχάνων ἀνωνύμου
Τυχὸν ξύλων ἄρχοντος, ἢ ξύλων πράτου,
Ἢ τῶν ὅσα πρίαιο καὶ τριωβόλου
Ἀγροῖκος ἀνήρ, καὶ προσῆκον βλαυτίῳ
Σκαπανέως πρόσωπον αἴσχιστον φέρων
Ἄϊδρις εἰς πᾶν τῶν καλῶν καὶ τιμίων.
Καὶ μηδ' ὅπως κνήσαιτο γινώσκειν ἔχων,
Πιεῖν διδαχθεὶς καὶ μεθυσθῆναι μόνον,
Ἢ καὶ φαγέσθαι τῶν Σελευκίδων πλέον.
Ἐν τῷ λαλεῖν δὲ σιέλων χέων πίθους,
Ἐκεῖνος οὗτος εὐπορεῖ μὲν ἀργύρου,
Ὅλας δὲ πλίνθους ἐνδέδυται χρυσίου.
Κτίζει δὲ λαμπρὰς οἰκίας χρυσοστέγους.
Ἵππων δὲ γαύρων ἀγέλας ὅλας τρέφει
Ἐκ Θετταλῆς γῆς καὶ πέδων Ἀρραβίας,
Χρυσοῖς δὲ τούτους ἐνστολίζει φαλάροις,
Προέρχεται δὲ τῆς λεωφόρου μέσον
Ὑπὸ προπομπῆς ἀρχικῶς ἐσταλμένος,
Καὶ προσκυνεῖται, καὶ Θεοῦ τιμὴν ἔχει.
Ἄλλος δὲ σεμνὸς εὐγενὴς τῶν ἐξ ἕω,
Καλὸς μὲν εἶδος, καλλίων δὲ τὸν βίον,
Λόγων μαθητής, καὶ διδάσκαλος λόγων
Πανημέριος ἐνσχολάζων ταῖς βίβλοις,
Παίδευσιν ἀσκῶν, καὶ τρυφῶν τὸ μανθάνειν,
Ἀνέστιος πρόεισιν ἄθλιος πτωχός,
Μηδὲ τρυφοῦς γοῦν εὐπορῶν πιτυρίου,
Τῆς ἀρετῆς δὲ φίλος ὢν καὶ τῶν λόγων;
Οὐδὲ βραχείας εὐτυχεῖ τιμῆς μέρος.
Τωθάζεται δὲ καὶ διώκεται πλέον.
Τί μὴ τὸ πάντων δυσθεώτερον λέγω,
Οὐ γὰρ ἀποχρῶν τοῖς καινοῖς πλουτεῖν μόνον
Ἐν πᾶσιν ἄλλοις τοῖς δοκοῦσι τιμίοις.
Ἀλλὰ προσαρπάζουσι καὶ τὰ βιβλία.
Ὡς κτῆσιν ἀργήν, ὢ μεγίστης ζημίας,
Καὶ λωποδυτεῖ τοὺς λόγους τὸ χρυσίον.
Ὤ μοι πόσους ἔρρευσα δακρύων πίθους.
Ἰδὼν σοφοὺς μὲν ἐν μέσῳ συνεδρίῳ
Λαλοῦντας ὀρθὰ καὶ περιφρονουμένους,
Παράφρονας δὲ πλουσίους τιμωμένους,
Ληρεῖ Μέλιτος, καὶ διδάσκει Σωκράτης.
Καὶ ζῇ Μέλιτος, καὶ τελευτᾷ Σωκράτης.
Ὁ συκοφάντης ἐκδιδράσκει τὰς δίκας,
Οἱ δ' ἕνδεκα κρίνουσι τοὺς ἐλευθέρους,
Καὶ τρίβεται μὲν φάρμακον τῷ γεννάδᾳ.
Ὁ δ' Ἄνυτος πέφευγε τὴν τιμωρίαν.
Χριστὸν πένης ἔλεξε, δυσσεβῶς λέγει.
Πλούσιος ἀντίχριστον, εὐσεβῶς λέγει.
Ἐπάγχομαι πρὸς ταῦτα, μισῶν τὸν βίον.
Θέλω θανεῖν, ἥλιον οὐ θέλω βλέπειν,
Ἐντεῦθεν εἰσήγαγεν ἄλλος τὴν τύχην,
Τὸ δ' αὐτόματον ἄλλος Ἑλλήνων δύο,
Ἄμφω δὲ κοινῶς τὴν ἀκυβερνησίαν.
Ἐντεῦθεν ἠγνόησαν οἱ τότε χρόνοι,
Καὶ τῆς προνοίας χρῆμα τῆς σοφωτάτης.
Ἐντεῦθεν ἡ ξύμφυλος ἀνθρώπων φύσις
Ἔγνω διασπασθεῖσα πρὸς μέρη δύο.
Καὶ κλήσεων ἄδικος ἐγράφη νόμος,

SISMANOGLIO MEGARO

Τὸ πλάσμα τέμνων εἰς τομὰς ἀσυμφύλους.
Καὶ τὸν μὲν ὠνόμασε δοῦλον ἡ τύχη.
Τὸν δὲ προσεκλήρωσε τοῖς ἐλευθέροις.
Ἀρχηγὲ κακῶν χρυσὲ, γῆς τυφλὸν τέκνον,
Ὡς ἀπόλοιο καὶ παρέλθοις ἐκ μέσου
Τὸ στασιῶδες χρῆμα καὶ κοσμοφθόρον,
Ἀλλ᾽ οὐ κοινοῖς μοι ταῦτα πρὸς τὸ χρυσίον,
Τί γὰρ πεπαρῴνηκεν ἄψυχος φύσις;
Ὡς ἀπόλοιο τῶν βροτῶν ἡ φαυλότης,
Οἳ τοὺς καλοὺς κρίνουσιν ἐξ εὐτυχίας.
Καὶ τοὺς κακοὺς τοὔμπαλιν ἐξ ἀτυχίας.
Ὦ τάλανες πένητες, ἄθλιον γένος,
Πλούτου μετ᾽ αὐτοῦ καὶ σὺν αὐτῷ χρυσίῳ
Τῆς ἀρετῆς τὴν δόξαν ἀφῃρημένοι,
Ὅμως ὁ κόσμος ἀγαθὸν πῶς ἂν δράσῃ,
Ἐν τῷ πονηρῷ κείμενος; λέγει λόγος.
Ὤ μοι πόσον δάκρυον ἐξ Ἡρακλείτου,
Πόσος γέλως δὲ πάλιν ἐκ Δημοκρίτου.
Τὸ μὲν κατοικτίσαιτο τὸν μωρὸν βίον,
Οὗτος δὲ μωκήσαιτο τοὺς ἀβελτέρους.
Ὄντως γὰρ ὄντως ἐξ ἑκατέρου τρόπου
Χρὴ σφᾶς ἑαυτοὺς καὶ γελᾶν καὶ δακρύειν.
Ἐμοὶ δὲ τίς χρήσειε σαλπίζον στόμα;
Ἀγχίστροφον δὲ γλῶσσαν εἰς λόγου πλάτος;
Καὶ πρὸς κορυφὴν Παρνασσοῦ στήσας ἄκραν,
Ὡς ἐξ ἀπόπτου τὴν βοὴν πλευρύνω;
Εἰπεῖν παράσχοι ταῦτα πρὸς τοὺς πλουσίους;
Οἱ χρυσολάτραι, ποῖ πλανᾶσθε πλούσιοι;
Οἵαν δὲ καὶ στέλλεσθε δείλαιοι τρίβον;
Ὁ πλοῦτος, ὕλη γῆς ῥέουσα συντόμως.
Ἧς οἱ κακοὶ φέρουσι πάντως τὸ πλέον.
Τί κακίους γίνεσθε πλουτοῦντες πλέον;
Εὕρημα κυνὸς ἡ σεβαστὴ πορφύρα.
Ὁ μάργαρος κύημα φαῦλον ὀστρέου,
Λίθοι τὸ σύμπαν οἱ χνοάζοντες λίθοι.
Ὁ λαμπρὸς οἶκος ἐκ τιτάνου καὶ ξύλων,
Ὀπτῶν τε πλίνθων, καὶ λίθων ἐξεσμένων,
Γῆς τίτανος, γῆς ξύλα, γῆς πάντες λίθοι
Τὴν γῆν δὲ τιμῶν καὶ σέβων. οὐκ αἰσχύνῃ
Εἶεν. τί ταῦτ᾽ ἔλεξας ἄγριον στόμα;
Σίγα, σίγα, δείλαιον οὐκ ὀρθῶς λέγεις.
Τῶν κριμάτων γὰρ τοῦ Θεοῦ τὸν πυθμένα
Ἐξιχνιάζειν, οὐδὲ Παῦλος ἰσχύει.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΒΑΡΕΑ ΤΟΝ ΚΑΤΑ-
## Φλυαρήσαντα αὐτοῦ, τὸ τοῦ αἱρετικοῦ ὄνομα.

Τί φατὲ σεμνὴ καὶ σοφὴ γερουσία;
Καὶ νῦν σιγῶμεν, ἢ λαλοῦμεν ἐνδίκως;
Χωροῦμεν εἰς ἄμυναν ἐχθροῦ Βαρέος;
Ἢ καρτεροῦμεν τὴν παροινίαν πάλιν;
Τηροῦμεν ἡμῶν τὰς ἐνόρκους ἐγγύας;
Μὴ κάλαμον ξέοντες εἰς γράμμα ψόγου;
Ἢ λύομεν τὸν ὅρκον εὐόρκῳ λόγῳ;
Καὶ τὴν πονηρὰν στηλιτεύομεν φύσιν;
Εἰ μὲν γὰρ ἦν ὁ λῆρος ἄχρι μετρίου,
Ἂν εἰς τύχην ἔσκωπτεν, ἢ γοῦν εἰς γένος,

SISMANOGLIO MEGARO



Ἂν πλημμέλειαν φύσεως ἐλοιδόρει.
Ἂν δυσμάθειαν, ἂν τρόπου μοχθηρίαν,
Ἐδυσφόρουν μὲν, ἀλλ᾽ ὅμως ἐκαρτέρουν
Καὶ τοὺς τεθνῶτας οὐκ ἀπέστεργον νόμους.
Τί γὰρ κακηγόρημα; δυστυχὴς βίος.
Ὅπου δι᾽ ἡμᾶς καὶ Θεὸς κάτω πένης,
Οὐ πᾶν μὲν ἀργύριον, ὡς αὐτὸς λέγει,
Καὶ χρυσίον πᾶν, ἀλλ᾽ ὅμως ἀλωπέκων
Καὶ τῶν πετεινῶν ἀστεγέστερος μένει.
Τίς δ᾽ ὕβρις ἀνδρός; μὴ μεθ᾽ ἵππων Ἀῤῥά-
Ἢ Θετταλικῶν πομπικώτερον τρέχειν. (βων
Εἰ τοῖν ποδοῖν εὖ μήδ᾽ ἐναντίως ἔχοι.
Ἀνδρῶν στρατευτῶν ἵππος εὑρέθη χάριν,
Μάχης συνεργὸς οὐ τρυφῆς ὑπηρέτης.
Τίς μακαριστὴς ἐγκρίνει τοὺς πλουσίους;
Χριστὸς δ᾽ ἐμακάρισε τοὺς πενεστάτους.
Τί γοῦν κακηγόρημα; δυσδαίμων βίος,
Ἢ δυσγενὲς καὶ φαῦλον ἀνθρώποις γένος.
Ὅπου γενάρχην τῷ Θεῷ μου καὶ λόγῳ
Εἰς τὴν κάτω γέννησιν εἰς τὴν δευτέραν
Τὸν τεκόντα γράφουσιν αἱ θεῖαι βίβλοι.
Τίς δ᾽ ὕβρις; ἄν τῳ καὶ παρεσφάλη φύσις,
Καὶ τυχὸν ὠχρὸς ἢ φαλακρὸς τὴν κάραν,
Ἢ γοῦν προγάστωρ, ἢ δυσόφθαλμος μένοι.
Συνωχριῶ μὲν τῷ σοφῷ Βασιλείῳ,
Συλλοξοβλεπτοίην δὲ τῷ Γρηγορίῳ,
Καὶ συγκατισχναίνοιμι τῷ Χρυσοστόμῳ.
Εἰ ταῦτα τυχὸν καὶ τὰ τούτοις ἐγγύθεν
Ἐλοιδορούμην, εἶχον εὐφόρως φέρειν,
Εὐαγγελικαῖς προσταγαῖς πεπεισμένος,
Αἵ φασι τῷ τύψαντι τὴν μίαν γνάθον
Καὶ θατέραν ἄνθρωπε τύπτοντι στρέφε.
Ἂν θοιμάτιον ληστρικῶς ἥρπασέ μου,
Ὁποῖος αὐτῷ βαρβαρογνώμων τρόπος,
Καὶ τὸν χιτῶνα συντόμως συνεξέδυν,
Θεῷ πεποιθὼς ἀμφιεσθῆναι πάλιν,
Τῷ καὶ τὸ λευκὸν ἐνδιδύσκοντι κρῖνον.
Ἐπεὶ δὲ τὸ κράτιστον, ὧν πάντων ἔχω,
Θεὸν συλᾷ μου, καὶ στερεῖ τῶν ἐλπίδων,
Καὶ δυσσέβειαν ἐγκαλεῖ μου τῷ βίῳ,
Ἐς ὕψος ἀδίκημα λαλήσας μέγα.
Ὦ πῦρ καταῤῥάγηθι, φλέξον τὴν κτίσιν.
Σέσθητι γῆ, σβέσθητι φέγγος ἡλίου.
Ὑπέρβλυσον θάλασσα, κλύσον τὸν βίον.
Τὸ πᾶν ἀνατράπηθι καινῇ συγχύσει
Μὴ καρτερήσαν τοῦ λόγου τὴν αἰσχύνην,
Λύω τὸν ὅρκον, καὶ κινῶ τὴν γραφίδα,
Τοῖς τῶν σεβαστῶν πατέρων πεισθεὶς λόγοις,
Οἷς πᾶν μὲν ἄλλο σκῶμμα καὶ πάντα ψό-
Στέγειν διωρίσθημεν εὐσεβοφρόνως, (γον
Μόνην δὲ δυσσέβειαν οὐδ᾽ ἄκραις θύραις
Ὤτων δέχεσθαι, καρτερεῖν οὐδ᾽ ἐκ βίας,
Πλήττειν δὲ τὸν λέγοντα μᾶλλον ἂν δέῃ
Ἢ χερσὶν ἁδραῖς ἢ κακηγόροις λόγοις.
Τὸ γὰρ σιωπᾶν ἀνδρὸς ἀρνησιθέου,
Καί μοι συναίρου, τοῦ παρεστῶτος λόγου,
Ὅσον Θεῷ γνήσιον ἀνθρώπων γένος.
Ζηλῶν γὰρ ἐζήλωκα τῷ ᾽μῷ κυρίῳ
Μωσῇ, τὸν Αἰγύπτιον αὖθις κτιννύειν.
Ἐν ψαμμάθῳ κρύπταζε τῇ παραλίῳ.
Καὶ τὴν ἐρυθρὰν τέμνε, καὶ πόλει μέσον.
Καὶ καταπόντου τοὺς βαρεῖς ἐπιστάτας.
Τὸν σειρομάστην Φινεὲς λαβὼν πάλιν,
Τὸ Μαδιηνὸν τοῦτο κέντησον τέρας.

Ὡς ἐξέλης ὄνειδος Ἰσραηλίτου.
Θῆξον Σαμουὴλ τῆς μαχαίρας τὸ στόμα,
Καὶ τὴν Ἄγαγ ἔκκοψον αἰσχίστην κάραν.
Δαβὶδ λαβὼν σου τὴν κρατίστην σφενδόνην,
Ἐκσφενδόνισον τὸν Γολιὰθ, καὶ πάλιν
Ὁ Θεσβίτης κτίννυε τῷ κέρατί σου
Τὸν τῇ Βάαλ θύοντα σὺν τῇ σκυτίδι.
Κἂν ἱερεὺς γὰρ οὐ πέφυκεν αἰσχύνης,
Ἀλλ' αἰσχύνης πέφηνε πολλῆς ἐργάτης.
Οὕτως γὰρ αὐτῷ τῶν φόνων πρέπει πλέον.
Τὸν ἐν γέρουσι παῖδα ταῖς ἄρκτοις δίδου
Ἐλισσαίου κέλευσμα τοῦ δεδορκότος.
Ἐπεὶ φαλακρὸν καὶ Θεοῦ γυμνὸν σκέπης,
Ὡσεὶ τριχῶν εἴρηκε τὸν Θεοῦ λάτριν.
Ἀλλ' εἰς τί ταῦτα; ποῦ μὲν ἄρτι Θεσβίτης;
Καὶ ποῦ Σαμουήλ; ποῦ δ' Ἐλισσαίου στόμα;
Ποῦ θ' οἱ καθεξῆς τῶν ἀπηριθμημένων;
Τριὰς τριάς μου, ναὶ τριὰς τρίτον λέγω,
Θησαυρὲ πιστῶν, ἐλπὶς εὐσεβοφρόνων,
Μονουμένη μὲν τῷ κατ' οὐσίαν λόγῳ,
Τοῖς δὲ προσώποις εὐσεβῶς τρισσουμένη,
Εἰ Μαβρὶ δροῦς πάρεστι κἂν τῷ νῦν βίῳ
Πρὸς Ἀβραὰμ κάτελθε καὶ πάλιν νέον
Καὶ μοσχοδειπνισθεῖσα τῷ φιλοξένῳ.
Γόμορρα καὶ Σόδομα πυρπόλει νέα.
Τὸν κολυβιστὴν τύπτε τῷ φραγγελίῳ,
Σωτὴρ Ἰησοῦ Χριστέ μου, πλαστουργέ μου.
Τοῦ γὰρ πατρός σου καὶ Θεοῦ τὴν οἰκίαν
Τίθησιν οἶκον ἐμπορίου καὶ τόπον.
Ἐπεὶ δὲ ταῦτα πεπροοιμίασταί μοι,
Τὴν αἱρετικὴν λοιπὸν ἐξεταστέον,
Ἣν ἐγκαλεῖς μοι κλῆσιν, ὡς ταύτης τύχης,
Ὅταν διαιτᾷ πᾶσιν ἡ Θεία κρίσις.
Ὢ πᾶν πρόχειρος ἐγκαλεῖν, καὶ πᾶν λέγειν.
Ἦ μὴ δὲ σὺ πρόβατον ὢν τοῦ δεσπότου.
Κἂν ἄρτι τὸ πρόβατον ὡράθης λύκος.
Ἆρ' αἱρετικὸν, ὡς λόγοις τεθραμμένον,
Καλεῖς λόγων ἄμοιρε, τοῖς ἐξωτέροις;
Ὡς συγκαλύψῃς τὴν σεαυτοῦ μωρίαν.
Κάλει τὸ λοιπὸν αἱρετικὸν, εἰ θέλεις
Τὸν γρήγορον νοῦν, τὴν Βασιλείου χάριν.
Τὸ χρύσεον μέλισμα τοῦ Χρυσοστόμου,
Τὸ Γρηγορίου στόμα τοῦ Νυσσαέως.
Τὸν Μάξιμον τὸ θαῦμα τῆς ἡσυχίας.
Οἷς εἰς τόσον μέτεστι τῶν ἔξω λόγων,
Ὡς καὶ Πλάτωνας ἐκτρέπειν καὶ Σωκράτας.
Εἰ μὲν τὸ λεχθὲν αἱρετικίζειν λέγεις,
Συναιρετικίζοιμι τοῖς λελεγμένοις.
Εἰ δ' ἠκροάσω τῶν ἐμῶν τυχὸν λόγων,
Καὶ σφαλεροὺς ἔγνωκας αὐτοὺς, εἰπέ μοι
Ἢ μᾶλλον εἰπὲ παντὶ τῷ συνεδρίῳ,
Καὶ θάτερόν σοι τοῖν δυοῖν πέρας λάβῃ
Ἢ γὰρ διδάξεις ἀγνοοῦντα, καὶ χάρις
Σοῦ τῇ διδαχῇ κείσεται καὶ τῷ λόγῳ
Ἄξιον ἐξάξαντος ἐξ ἀναξίου.
Ἢ τῆς Θεοῦ γοῦν ἐξελάτεις ἑστίας
Ἥπερ δίκη πέφηνε τοῖς ἀβελτέροις
Ἔλαχε λοιπόν. ἀλλὰ τίς τὸ σὸν στόμα
Πέσει κινήσας ἐξερεύξασθαι λόγον.
Ἢ πῶς ἀνοιχθὲν στέλλοις με μὴ πλύνῃ
Ὢ φύσεως ὕβρισμα καὶ γέλως βίου,
Ἐμοὶ προσάπτεις τὸν δυσώνυμον λόγον.
Ἐμὲ στερίσκεις τῆς ἀνάρχου τριάδος,
Ἧς ἐξανῆψα τοῦ βίου τὰ πείσματα.



### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὃς γενεὴν βροτέην τεκτήνατο ἄχρονος ἄναξ,
Νῦν γενεαλογίην κατεδέξατο· ἐν δέ οἱ ἦλθον
Ἀβραὰμ Ἰσαάκ τε προπάτορε, τοῖς δ' ἔπι Δαβίδ.
Κούρη θ' ἁγνοτόκεια κυήσατο ἄρρενος ἄτερ.

### ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Ὑπὲρ λόγον τὸ θαῦμα, παρθένος κύει, Ὑπὲρ λόγον τὸ θαῦμα, πλὴν Θεὸν κύει.
Τοῦτ' αὐτὸ καινὸν, εἰς Θεὸν βρέφος βλέπω, Τοῦτ' αὐτὸ καινὸν, πλὴν Φιλανθρω-
(πον βλέπω.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθενικῆς Μαρίης υἱὸν Θεὸν ἔνδοθι φάτνης
Ἄγγελοι, ἀστρολόγοι, βουθρέμμονες ἀμφεκύνησαν.
Μοῦνος ἄγριος ἄναξ δεινὰ φρεσὶ βυσσοδομεύων
Πέφνε βρέφη σύμπαντα, Θεὸν κτανεῖν μενεαίνων.

### ΕΙΣ ΤΗΝ ΕΙΣ ΑΙΓΥΠΤΟΝ ΦΥΓΗΝ ΙΗΣΟΥ.

Φεύγεις Ἰησοῦ, τοὺς δὲ δυνάστας τρέμεις; Φεύγω βροτὸς γάρ εἰμι καὶ φεύγειν δέον.
Ἐνστάντος οὔπω τοῦ χρόνου μοι τοῦ πάθους. Καὶ φεῦγε λοιπὸν, ἄχρις Ἡρῴδης θάνῃ.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἴγυπτον σκοτόεσσαν ἐπέρχεαι, ὦ ἄνα Χριστέ·
Ἀμπλακίης ὄφρα κεῖθεν ἀπὸ βροτὸν ἄνδρα σαώσῃς.
Κοῦφῃ δ' ἐν νεφέληφι καθίζεαι, ὥς μ' ἀναείρῃς.
Κούφῃ ἐν νεφέλῃ σεμνοῦ τ' ἀνὰ πατέρος ἀγκάς.

### ΕΙΣ ΤΟ ΚΗΡΥΓΜΑ, ΚΑΙ ΤΗΝ ΣΤΟΛΗΝ ΙΩΑΝΝΟΥ.

Ἐρημικὰ ξύμπαντα τῷ Ζαχαρίου, Ἡ γὰρ στολὴ πέφυκε καμήλου τρίχες,
Τὸ ζῶμα δέρμα, πλοχμὸς αὐχμηρὸς κόμης, Βλέμμα βλοσυρὸν, καὶ μετάγνωσις
(λόγος.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νηδύος ἐκ προμολῶν στερεῆς κλυτὸς Ἰωάννης
Γῆν στερεὴν ᾤκησεν, Ἰορδάνου ἀμφὶ δὲ ῥέεθροις
Ὄχλον ἀπειρέσιον πλυνέεσκεν εἰς μετάνοιαν.
Δέρκεο θοἰμάτιον καὶ τὴν τρίχα. θαῦμα ἰδέσθαι.

### ΕΙΣ ΤΗΝ ΒΑΠΤΙΣΙΝ.

Τί δρᾷς ποταμὲ, ποῦ τὰ ῥεῖθρά σου στρέφεις;
Οὐκ οἶδα τί δρῶ, πλὴν τὸν ἑστῶτα τρέμω.

Οὐχ'

Οὐχ' εἷς γε μὴν ἔσηκω, εἷς δέ με σρέφει    Ὁ ποῖος οὗτος; τὴν περισερὰν σκόπει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς πόθεν εἷς, αὐχμῆεν ὀρέσερε, ἄγρ' εἰ ἄνερ,
Οὔρεος ἐξ ἀβατοῖο Ἰορδάνου ἀμφὶ ῥέεθρα;
Εἰμὶ Θεοῖο λόγοιο διήκονος, οὗ ἐνὶ χερὶ
δεξιτερὴν ἀνάειρα Φόβος δέ με γυῖα ὑπῆλθεν.

ΕΙΣ ΧΡΙΣΤΟΝ ΠΕΙΡΑΖΟΜΕΝΟΝ ΥΠΟ ΤΟΥ ΔΙΑΒΟΛΟΥ.

Αἰτεῖς μιαρὲ προσκυνεῖν σοι τὸν λόγον    Τὸν προσκυνητὸν ταῖς ἄνω σρατηγίαις
Κατεγγυᾷς δὲ πτωχὲ τῆς γῆς τὰ κράτη    τῷ παμβασιλεῖ. Τῆς ἀναιδείας ὅση!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄδαμον ἀρχιγένεθλον ἰῇ ἐνὶ κάββαλε πάλῃ
Δαίμων. Αὐτὰρ ὅ μιν τρισσῇσι παλαισμοσύνῃσι
Λοῖσθος Ἀδὰμ ἐνάριξε, καὶ ἔννομον ἤρατο κάρτος,
Τρισσοῖς γάρ τ' ἀέθλοισι παλαισρικὸς ἔμμορε νίκης.

ΕΙΣ ΤΟΝ ΙΑΘΕΝΤΑ ΥΠΟ ΤΗΣ ΑΦΗΣ ΧΡΙΣΤΟΥ ΛΕΠΡΟΝ.

Τὸν λεπρὸν ἀκάθαρτον ὄντα τῷ νόμῳ,    Χειρὶ κρατεῖς σὺ, καὶ θεραπεύεις λόγε.
Οὐ γὰρ κατῆλθες τῷ κεκαθαρισμένῳ,    Τῇ δ' ἐθνικῇ, μάλισα λεπρᾷ, καρδίᾳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῦν μὲν ἕνα Χρισοῖο καθήρατο δάκτυλα λεπρόν,
Ἀλλ' ὅτ' ἐπὶ σαυροῖο τεθήσεται, οὐχ' ἕνα μοῦνον,
Φύσιν ὅλην δ' ἰήσεθ', ὅλην λεπρήν περ ἐοῦσαν.
Ἅψαι καὶ μοῦ Χρισὲ, νόος δ' ἀπὸ λέπραν ἄειρον.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΗΝ ΠΕΝΘΕΡΑΝ ΤΟΥ ΠΕΤΡΟΥ ΘΑΥΜΑ.

Ἦλθες βαλεῖν πῦρ ὡς ἔφης, εἰς τὸν βίον,    Ἀλλ' ὡς ὁρῶ πῦρ μᾶλλον ἐκ-
Τὸ πυρεταῖον ὑγιάζων σαρκίον    βάλλεις, λόγε,
Ὄναιο ταῦτα τῆς μαθητείας, Πέτρε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῦν μὲν Χρισὸν ἄνακτα Πέτρε προκαλίζευ ἰητρόν,
Πυρετὸν ὄφρα δάϊον ἐσαῦθι φύξιμος αὔρα
Σκιὰ δέ σου μετόπισθε τροπώσεται ἔθνεα νούσων.
Ἐν δὲ χιτὼν νεκύεσσι πόρει βιοθρέμμονα πνοιήν.

ΕΙΣ



ΕΙΣ ΤΟ, ΑΙ ΑΛΩΠΕΚΕΣ ΦΩΛΕΟΥΣ ΕΧΟΥΣΙΝ, Ο ΔΕ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

Φῂς οὐκ ἔχειν ποῦ τὴν κάραν, Χρισὲ, κλίνῃς.    Σαφὲς τὸ ῥητὸν, ἡ γὰρ ἔνθεος φύσις,
Ἡ σὴ κεφαλὴ τοῦ Θεανθρώπου λόγου    Οὐκ ἂν κλιθῇ ποῦ, καὶ γὰρ ἀκλινεσάτη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Φωλεὸν ἀμφὶ μένουσιν ἀλώπεκες, οὐδὲ πετεινῶν
Οὐρανίων γενέθλη, Χρισὸς δ' οὐ ἕνα πῆχυν ἀρούρης
Ἐς δόμον οὐ φορέοι. Τί πρὸς τάδε φαῖεν ἐκεῖνοι,
Οἳ χρυσοῦν δομέουσιν ὑπείροχον ὕψιον οἶκον.

ΕΙΣ ΤΟΝ ΕΝ ΘΑΛΑΣΣΗ ΥΠΝΟΝ ΧΡΙΣΤΟΥ.

Ὁ δεσποτικὸς ὕπνος ἀρρήτῳ λόγῳ    Ὑπνοῦσαν ἐξύπνισε τὴν ἅλμην τότε.
Ἡ δ' ἐξέγερσις ἔμπαλιν τοῦ Δεσπότου    Τὸ τῆς θαλάσσης ἐξεκοίμισε πλάτος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χρισὸς μὲν παλάμηφιν ἐέρξατο πάντας ἀήτας.
Τοῦ δ' ἔτ' ἐνὶ βλεφάροισι γλυκὺς περιχύμενος ὕπνος
Πεῖσ' ἐλθεῖν Βορέην ὁ δ' ἀπέπτατο, καδδ' ἅλα τύψε.
Χρισοῦ δ' ἐγρομένου κεῖνος πάλιν ἔνδον ἐέρχθη.

ΕΙΣ ΤΟ ΕΝ ΓΑΔΑΡΟΙΣ ΘΑΥΜΑ.

Τὴν τοῦ Σατὰν, ἄνθρωπε, μανίαν βλέπε,    Ὁ γὰρ ἀπάγχων τῶν συῶν
Τί λοιπὸν ἂν δράσειεν εἰς βροτοὺς βλάβης;    (τὰς ἀγέλας
Ὡς χοῖρος οὖν ζῶν σωφρόνιζου τῷ τύπῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συβῶται ποῦ φεύγετε, τοὺς δὲ σύας λίπετ' αὐτοῦ;
Τὸν λεγεὼ δέδιαμεν, ἀτάσθαλός ἐσι γενέθλη,
Ἄγχετο συβόσιον, καδδ' ἔρχετο πυθμένα λίμνης.
Οὐδ' οὔπω λεγεῶνα κορέσσετε, ἀγχόμενοί περ.

ΕΙΣ ΤΗΝ ΜΑΤΘΑΙΟΥ ΚΛΗΣΙΝ.

Τί τοῦτο Χρισὲ τοῖς τελώναις συγκάθῃ;    Τί τοῦτο καινόν; ἀλλὰ καὶ συνεσθίω
Ματθαῖος οὗτος ὁ τελώνης ἐσί σοι;    Ἐμοὶ δὲ πολλῶν βελτίων γραμματέων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χαίρετε ἀμπλακόεργοι, θαρσέετ' ἔθνε' ἀλιτρῶν,

Χρι

SISMANOGLIO MEGARO

Χριςὸς ἀλιτροβίοισι μεθίζεται, ἠδέ τε δαιπνεῖ.
Ματθαῖον καταθρεῖτε ἐὴν πάρος ἀμφὶ τελώναις,
Νῦν δὲ Χριςὸν ἄνακτα συνέςιον ἔσχεν ἐν οἴκῳ.

ΕΙΣ ΧΡΙΣΤΟΝ ΑΝΙΣΤΩΝΤΑ ΤΗΝ ΘΥΓΑΤΕΡΑ τοῦ ἀρχισυναγώγου.

Σὺ ἢ θανατοῖς, ἢ πάλιν ζωοῖς λόγῳ. Ζωοῖς δὲ μᾶλλον ἢ θανατοῖς, Χριςέ μου.
Ο῾ δ' ἀρχισυνάγωγος εἰς μαρτυρίαν, Βιοῦν τὸ θυγάτριον ἔμπαλιν βλέπων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μὴ θρηνεῖτε γυναῖκες, ὑπνοῖ τὸ κοράσιον· ὑπνοῖ;
Ὑπνοῖ, ἐδέτ' ὄλωλεν. ὑμεῖς κενεῶς δὲ γελᾶτε.
Ε῎γρεό μοι κόριον, ἢ αἰθέρα δέρκεο δῖον.
Ἀρχισυναγώγοιο πατρὸς σέο πίςις ἀμύμων.

ΕΙΣ ΤΗΝ ΑΙΜΟΡΡΟΥΝ.

Ω῏ πίςις ὀρθὴ, πίςις ἀκραιφνεςάτη, Δι' ἧς βροτοὶ κλέπτουσι τὴν σωτηρίαν.
Ἀλλ' ἐ λέληθας, κἂν λαθεῖν δοκῇς γύναι, Τὸν γὰρ πανόπτην πῶς λαθεῖν δύναιτό τις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀσθενὲς ἦσθα γύναιον, ἀτὰρ κρατερὸν κατὰ πίςιν,
Καὶ δοιοὶ προχέοντο ῥόοι πάθων ἐκ πιδύοντες,
Αἵματος εἷς, ἄλλος δέ τε πίςιος ἐς πολὺ μείζων,
Ε῎νθεν ἐ κεῖνον ξήρανε, ἢ λάβεν ὄνομα δῖον.

ΕΙΣ ΤΗΝ ΔΙΑΓΩΓΗΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ, ἢ τὴν τούτων ἀποςολήν.

Καινοὺς ςρατηγοὺς ἢ βασιλέα βλέπε· Ο῾ μὲν κλιναί ποῦ τὴν κεφαλὴν οὐκ ἔχει.
Οἱ δ' εἰς μάχην ὁρμῶσι γυμνῷ σαρκίῳ.
Ε῎πειτα τί; ζωγροῦσι τὴν οἰκουμένην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἵπποις μὲν ἢ ὄχεσφι, ἢ ἀσπίσιν ὀμφαλοέσσαις,
Χαλκῷ τε, χρυσῷ τε ἢ ἀνδράσιν ἱπποκορυςαῖς,
Στρατηγοὺς κοσμοῦσιν ἐπιχθόνιοι βασιλῆες
Γυμνὸς δὲ Χριςοῖο λάβε ςρατὸς ἔθνεα πάντα.





ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΞΗΡΟΧΕΙΡΑ ΘΑΥΜΑ.

Ω῾ς ἐξανιςᾶς ἐκ τάφων νεκροὺς ὅλους, Οὕτως ἀνιςᾶς ἢ νεκρὰ βροτῶν μέλη.
Ο῾ ξηρόχειρ δὲ μάρτυς ἐςί μοι, λόγε, Τὴν νεκρὰν αὖθις εὐπετῶς κινῶν χέρα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χεῖλος ἐξ ἁγίου προθορῶν λόγος οἷα κελεύει.
Χεῖρ ξηρὰ προταθῆτι, ἢ ἅπτεο, πάντα δ' ἐνέργει.
Ἡ δ' ἐ... προτέτατο, ἢ ἥπτετο, πάντα δ' ἐνήργει.
Ἦ ῥα ἢ ἀμφὶ χέρεσσιν ὑπ' οὔατα Χριςὲ φυτεύεις;

ΕΙΣ ΤΟ, ΟΤΙ ΕΝ ΒΕΕΛΖΕΒΟΥΛ ΕΚΒΑΛΛΕΙ ΤΑ ΔΑΙΜΟΝΙΑ.

Ο῾ φυγαδευτὴς δαιμόνων γραμματέες Ὑμῖν καλεῖται δαιμονῶν; φεῦ τοῦ λόγου.
Καὶ τίς γ' ἂν ὑμῶν δαιμονίζοιτο πλέον; Τὰ δαιμονώδη ταῦτα τολμώντων λέγειν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δαιμονίων λεγεῶνας ἀπήλασε τηλόθι Χριςὸς
Ε᾿ν Γαδάροις ἐπιτάγδην, χοίροφι δ' ὦρσε φυγόντας,
Δαιμονιῶντα δ' ἔφαν γραμματέες αὐτὸν ἐκεῖνον.
Ἆρ' οὐχὶ σφιν ἐμήνισεν ἄγριος, ὦ ξένε, δαίμων;

ΕΙΣ ΤΟΥΣ ΑΙΤΟΥΝΤΑΣ ΣΗΜΕΙΟΝ.

Σημεῖον αἰτεῖς, γραμματεῦ, τὸν δεσπότην. Ο῾ τυφλὸς ἐ σημεῖον ἐμβλέψας πάλιν;
Ο῾ κωφὸς ἐ σημεῖον ἀκέσας πάλιν; Ο῎ντως φθόνος τὸ πρᾶγμα, ἢ φθόνου λόγος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἠελίοιο φόως, ἢ αἰθέρα δέρκετο τυφλὸς.
Ἐνδέ τε κωφὸς ἄκουσε, ῥόος δ' ἐπὶ αἵματος ἔςη,
Καὶ λεγεὼν ἔπτηξε, νεκρὸς δ' ἀνέκθορε τύμβου.
Γραμματέες τί πλέον σημήϊον ἄμμιν ἀρέσσει;

ΕΙΣ ΤΟ, ΜΗΤΗΡ ΜΟΥ, ΚΑΙ ΑΔΕΛΦΟΙ ΜΟΥ. οἱ ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ.

Ω῏ δυςυχὴς ἄνθρωπε ἢ φαύλου γόνου, Θέλεις ἀνυψώσω σε πρὸς λαμπρὸν γένος;
Τὸ τοῦ Θεοῦ θέλημα πρᾶττε γνησίως, Καὶ τοῦ Θεοῦ, γίνωσκε, συγγενὴς γένῃ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ γενεῆθεν ἀνὴρ παρὰ Χριςῷ ἔμμορε τιμῆς,
Οὐδέ τε θηλυτέρη μέγα πότνια ἔνθεν ἐδείχθη.

Κεῖνος ἀδελφεός ἐςί Θεοῦ, γενέτις δέ τε κείνη,
Οἵ σφε λόγους τελέουσι, καὶ ἔνδικα θεσμὰ ποιοῦσιν,

ΕΙΣ ΤΟΝ ΧΡΙΣΤΟΝ ΑΠΟ ΤΟΥ ΠΛΟΙΟΥ ΔΙΔΑ
σκοντα τοὺς ἐν τῷ αἰγιαλῷ.

Ἐφ' ὑδάτων, λέγουσι, φωνὴ Κυρίου Τὸ πλοῖον ἀθρεῖς, τὸν διδάσκαλον βλέπεις,
Τὸν αἰγιαλὸν τοιγαροῦν δραμὼν φθάσον. Καὶ τῆς σοφῆς ἄκουε διδασκαλίας,

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ πέλεκυς μακάριος. ὦ οὔρεος ἔνθεος ὕλη,
Εὐτυχέες δρυτόμοι, ναυπηγῶν δάκτυλα κεδνά,
Οἳ τόδε λέμβος ἔθεσθε θαλασσοπόρον καλίγομφον.
Ὦ, Θεὸς ἐμβεβαὼς, διδάσκαλος ὤπασε γῆρυν.

ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΙΩΑΝΝΟΥ.

Ὦ κεφοσάναξ μιαρᾶς δοῦλος κόρης. Ὦ μωρὸς ὅρκος συμμερίζων τὸ κράτος.
Ὦ δεῖπνον αἰσχρὸν αἵματος χλωροῦ πνέον Ὦ νεκρὸς ἔμπνους, καὶ τὸ μῦσος δει-

ΕΙΣ ΤΟ ΑΥΤΟ. (κνύων.

Ἡ γένεσις βιότου, καὶ ζωῆς ἔπλετο ῥίζα,
Πρᾶξε φόνον δ' Ἡρώδης ἐν τελετῇ γενεσίων,
Οἴνοιο δὲ κρητῆρα κεράσσατο αἵματι θερμῷ.
Οὐχ ὁ θανὼν ἐσίγησε, λυγίζεο μαχλὰς ἀσελγής.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΥΣ ΠΕΝΤΕ ΑΡΤΟΥΣ ΘΑΥΜΑ.

Ὁ μάννα τὸ πρὶν εἰς Ἰουδαίους βρέχων, Νῦν ἐκ μόνης ἔθρεψε ἄρτων πεντάδος.
Τὴν πεντακισχίλιον ἀνδρῶν ἀγέλην. Καὶ τοὺς κοφίνους τῆς περισσείας ὅρα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔντερα οὐκ ἐπέδησε τροφὴν, τάπερ ἔνδοθι κεῦθεν
Χριςὸς, ὅτε βραχέεσσιν ἀπείρωνας ἔτρεφεν ἄρτοις.
Τὰς δὲ τροφὰς αὔξησε τὰ δ' ἄγγεα ἔπλετο μάρτυς,
Οἷς τάγε λείψαν' ἔερκτο. πέλον δέ τε δώδεκα πάντα.

ΕΙΣ ΤΟΝ ΕΝ ΘΑΛΑΣΣΗ ΠΕΡΙΠΑΤΟΝ ΧΡΙΣΤΟΥ
καὶ Πέτρου.

Ἦλθες καθ' ὑγρῶν θαυματουργία μία, Συνῆλθέσοι καὶ Πέτρος, αὕτη δευτέρα
Ἔσωσας αὐτὸν ἐκ βυθῶν, αὕτη τρίτη, Τοὺς ἀνέμους ἔπαυσας, αὕτη λοισθία





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πεζὸς ὑπὲρ νώτοιο θαλάσσης Πέτρε πορεύῃ;
Πεζὸς. Ἀτὰρ τίς τοι πτέρ' ἀνάρσια θῆκε ποδοῖιν,
Ἢ τίς ἀπ' οὐρανόθεν δολιχὴν σειρὴν προπετάσσας
Ἐκ κεφαλῆς ἀνέχει σε; Τὸν ἐγγύθι δέρκεο Χριςόν.

ΕΙΣ ΤΗΝ ΧΑΝΑΝΑΙΑΝ.

Ὁ Χριςὸς ἄρτος. Ἰσραὴλ παῖς Κυρίου, Ἡ δ' ἐθνικὴ σύμπασα πατριὰ, κύων.
Ὁ παῖς τὸν ἄρτον ἀφρόνως ἀπεστράφη, Ὁ δ' οὖν κύων βέβρωκεν αὐτὸν ἀσμένως.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οἱ κύνες εὐνοέουσιν ἀγαθοῖς ἀρτοδότῃσι,
Μνημοσύνην κεύθουσιν ἐνὶ ςήθεσσι φίλοισι.
Καὶ σὺ ἔα Χαναν῀τις διὰ ταῦτ' ὀνομάζεο κύων,
Ἓν δὲ τὸν ἄρτον ἅπαντα κατέσθιε πιςὴ ἐοῦσα.

ΕΙΣ ΤΟ, ΤΙΝΑ ΜΕ ΛΕΓΟΥΣΙΝ ΟΙ ΑΝΘΡΩΠΟΙ ΕΙΝΑΙ,
Καὶ εἰς τὴν Πέτρου ἀπόκρισιν.

Μακάριος εἶ Πέτρε, συλλαβὼν τόσων Ὠνόμασμένος τὴν κλεῖδα τῆς ἄνω πύλης.
Καλούμενος δὲ Πέτρος, ὁ πρώην Σίμων, Τὸ πᾶν δὲ δεσμῶν, καὶ τὸ πᾶν λύων

ΕΙΣ ΤΟ ΑΥΤΟ. (πάλιν.

Ἄνθρωποί σε χαμαίφρονες Ἠλίου οἱ μὲν ἔφασαν.
Οἱ δὲ τὸν Ἰωάννην, οἱ δ' ἔμπαλιν Ἰερεμίαν
Αὐτὰρ ὁ Χριςὸν ἔλεξε Θεοῦ πατρὸς υἱέα Πέτρος,
Κληΐδας ἔνθεν ἔδεκτο, ταὶ οὐρανὸν εὐρὺν ἔχουσιν.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ.

Ὁρᾷς τὸ Θαβώρ; οὐχ ὁρῶ τίνα τρόπον; Τοῦ φωτὸς ἡ χύσις με κωλύει βλέπειν
Ὀρθῶς ἔλεξας, οὐδὲ γὰρ Ἰωάννης Ἰδεῖν ἐκαρτέρησεν, ἀλλ' ὑπεξάλη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τρεῖς μὲν ἄνω λαλέουσι Θαβὼρ ἀνὰ ἄκρα κόρυμβα,
Ἐκ δ' ἄρα τοῦ μεσάτοιο φόως ἀναδέδρομε θεῖον.
Τρεῖς δὲ πέσον πρηνέες ποτὶ πέζαν οὔρεος ἄκρην,
Ἐδ' ἄρα τῷ μεσάτῳ πλείων χύτο φωτὸς ἀπορρώξ.



SISMANOGLIO MEGARO

### ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΣΕΛΗΝΙΑΖΟΜΕΝΟΝ ΘΑΥΜΑ.

Α'νθρωπε μὴ κέκραχθι. ναὶ κράξω μέγα, Πάσχεις γὰρ οἷα; δαίμονα μοι τὸ Βρέ-
Καὶ ψηλαφᾷς τί τὸν διδάσκαλον, ξένε; (φος.
Ε'χεις ὃν αἰτεῖς, ἐγγὺς ἡ σωτηρία.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε Σατὰν κακόμητι τὸν ἄθλιον εἰς πυρὰ βάλλεις;
Εἰς πυρὰ, ἠδ' ὕδατα κρυόεντα, ὅπως μιν ὀλέσσῃς;
Κληρονόμος δαΐης σὺ καμίνου ἔπλεο, ληςά,
Αὐτὰρ ὃ κληρονόμος βασιλείας ἔπλετο Θείας.

### ΕΙΣ ΤΗΝ ΤΟΥ ΚΗΝΣΟΥ ΑΠΟΔΟΣΙΝ.

Ι'χθὺς τὸ Φασκώλιόν ἐςι τῷ λόγῳ, Ἄγγιςρον αἱ κλεῖς εἷς ςατὴρ τὸ χρυσίον
Ε'μβαλλε τὰς κλεῖς Πέτρε, τὴν γάζαν λύε, Ἔκβαλλε τὸν ςατῆρα, τὸν κῆνσον
(δίδου.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἦ ῥ' ὅγ' ὑπὸ σπλάγχνοισιν ἐκεύθετο ἰχθύϊ κῆνσος.
Καί μιν ἔειδες ἄνω διὰ μακροῦ βένθεος ἅλμης,
Ἦ σύ μιν ἀμφιχάραξας ἅμα προςάγματι Θείῳ
Ὑγρῷ ἐνὶ σπλάγχνῳ ἁλιθρέμμονος ἰχθύος, ἄναξ.

### ΕΙΣ ΤΟΝ ΝΟΜΙΚΟΝ ΠΛΟΥΣΙΟΝ.

Ὦ χρυσὲ κακὸν ἄμαχον, κακὸν μέγα. Δι' ὃν κεκινδύνευκε τὴν σωτηρίαν
Ο τῶν νομικῶν ἐντολῶν πασῶν φύλαξ. Μή μοι γένοιτο πλοῦτος, ὃν ςερῇ Θεοῦ.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤφελες ὦ πλούσιε πενέςερος ἔμμεν' ἁπάντων.
Ὤφελες ἐνδεέεσσι συνιζέμεν' ἀνθρώποισι,
Μηδὲ κομᾶν χρυσοῖο ταλάντεσιν, ὅς σε κολούει
Χριςῷ ἅμ' ἐλθέμεναι, ςαυρὸν δ' ἀνὰ ὦμον ἀρέσθαι.

### ΕΙΣ ΤΗΝ ΒΑΙΟΦΟΡΟΝ.

Ναὶ παῖδες εἰς ἔλεγχον ἀνδρῶν ἀφρόνων Κλαδηφοροῦντες εὐλογεῖτε τὸν λόγον.
Ναὶ ςρώννυτε ξύμπαντα τοῖς πέπλοις τόπον, Ὡς μηδὲ γῆς ὁ πῶλος αὐτῆς θιγγά-
(νοι.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὔποτ' ἄνακτα δέδορκας ὑπὲρ πώλου ἀδμήτος
Κέλητα. βρεφέεσσι κροτέμενον ἀρτιγενέεσσι,

Πτορ-